This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

NYPL RESEARCH LIBRARIES
3 3433 07591193 7



Arcadius, Grammatici.

ΑΡΚΑΔΙΟΥ

ΠΕΡΙ ΤΟΝΩΝ.

E

CODICIBUS PARISINIS

PRIMUM EDIDIT

EDMUND. HENR. BARKERUS.

ADDITA EST EDITORIS EPISTOLA CRITICA AD JO. FR. BOISSONADE.



LIPSIAE

APUD GERHARDUM FLEISCHERUM

MDCCCXX.

NEW YORK
PUBLIC
LIBRARY

GODOFREDO HERMANNO

QUEM UNO ORE PLURIMAE CONSENTIUNT
GENTES LITERATI POPULI PRIMARIUM
ESSE VIRUM

LIBELLUM HUNC

INSCRIPSIT

EDITOR.

BAYERISCHE
STAATS
BIBLIOTHEK

NEW YORK
PUBLIC
LIBRARY

PRAEMONITUM.

In hac Arcadii editione accurate expressum est Apographum Gregorii Georgiadae Zalykii, quale ante biennium praestantissimus Barkerus Lipsiam transmisit. Plurima in eo insunt vitia, non illata, ut putamus, Zalykii negligentiâ, sed errore librarii qui Codicem Parisinum scripsit: sic tamen comparata illa maximam partem, ut nullo negotio corrigi possint, inprimis si adhibeas diversitatem scripturae ex altero Codice excerptam notatamque in imo margine paginarum. Haec praemoneri oportere visum fuit, ne forte operae talibus cavillationibus premerentur, quales in Photium Lipsiensem iactas commeminimus, quum illius Lexicon, consulto cogitatoque non abstersis libri manu scripti vitiis, prodiisset.

Notae passim adscriptae nec Barkeri sunt nec meae, sed eiusdem illius Zalykii, latine a me redditae: nam Graecus fere Gallica lingua usus fuerat.

Arcadio subiunxi Editoris ad Io. Fr. Boissonade, litteratae Galliae splendidissimum sidus, Epistolam Criticam, ante tres annos ad me hoc consilio missam, ut Lipsiae meaque opera ederetur.

G. H. S.

ΑΡΚΑΔΙΟΥ

ΠΕΡΙ ΤΟΝΩΝ.

Arcadii de accentibus librum anno 1816. transscripsi e Codice 2102. Bibliothecae Regiae Parisiensis, apographumque contuli cum Codice eiusdem Bibliothecae 2603., unde quas scripturae diversitates enotavi, eas posui in imo margine paginarum.

Gregorius Georgiades Zalykius
Thessalonicensis.

ΑΡΚΑΔΙΟΥ ΠΕΡΙ ΤΟΝΩΝ.[1])

[2])*Πίναξ τῶν βιβλίων καὶ τῶν περιεχομένων αὐτοῦ, τῆς παρούσης βίβλου.* [3])

Τὸ μὲν οὖν πρῶτον βιβλίον περιέχει τὰ εἰς $\bar{\nu}$ *λήγοντα ὀνόματα ὑπὲρ μίαν συλλαβὴν ἀρσενικὰ* [4]) *καὶ θηλυκά. p.* 2.

Τὸ δὲ δεύτερον περιέχει τὰ εἰς $\bar{\xi}$, *καὶ εἰς* $\bar{\rho}$, *καὶ τὰ εἰς* $\overline{\alpha\varsigma}$. *p.* 18.

Τὸ δὲ τρίτον, εἰς $\overline{\eta\varsigma}$ *καταλήγοντα* [5]). *p.* 23.

Τὸ δὲ τέταρτον, τὰ εἰς $\overline{\iota\varsigma}$. *p.* 28.

Τὸ δὲ πέμπτον, τὰ εἰς $\overline{\omega\varsigma}$ *ὀνόματα λήγοντα πάντα καθαρά* [6]).

Τὸ δὲ ἕκτον, ἀπὸ τῶν εἰς $\overline{\beta o\varsigma}$ *ἀρξάμενον*

1) Codex alter (2603.) titulum habet *ἀρκαδίου γραμματικῆ.*

2) Hic *πίναξ* descriptus est apud Villois. Epist. Vinar. p. 118. In Codice altero sequitur Arcadii praefationem, quae finitur his verbis: *μετὰ τοῦ σαφεστέρου — ἐπιμρινεῖς.*

3) *πίναξ τ. β. κ. τ. π. α. τ. π. β.* a Cod. alt. absunt.

4) Cod. alt. *συλλαβὴν ὄντα ἀρσενικά.*

5) *καταλήξιν.*

6) $\overline{\omega\varsigma}$ *λήγοντα καθαρά.*

συμπληροῖ 7) τὰ εἰς λος· κατὰ γὰρ τὴν τῶν στοιχείων τάξιν ἡ παράθεσις καὶ ἐπὶ τῶν εἰς ων λήγόντων. p. 45.

Τὸ δὲ ἕβδομον, ἀπὸ τῶν εἰς κος μέχρι τῶν εἰς ω ὀνομάτων 8). p. 58.

Τὸ δὲ ὄγδοον, ἀπὸ τῶν εἰς ρος, μέχρι καὶ ψος καὶ ἔτι περὶ τῶν εἰς ος οὐδετέρων. p. 67.

Τὸ ἔννατον, περὶ τῶν εἰς ος συνθέτων. p. 85.

Τὸ δὲ δέκατον περιέχει τὰ εἰς υς ἀρσενικὰ καὶ θηλυκὰ, καὶ τὰ ἔχοντα διφθόγγους πρὸ τοῦ σ· ἔτι τὰ εἰς ος καὶ ψ. p. 91.

Τὸ ἑνδέκατον περιέχει τὰ εἰς α λήγοντα θηλυκὰ ὀνόματα. p. 98.

Τὸ δωδέκατον, τὴν εἰς η κατάληξιν τῶν θηλυκῶν, καὶ τὴν εἰς ω, μετὰ τῆς τῶν συμφώνων πάλιν τάξεως. p. 102.

Τὸ τρισκαιδέκατον περιέχει περὶ οὐδετέρων ὀνομάτων. 9) p. 116.

Τὸ τεσσαρεσκαιδέκατον περιέχει πᾶν ὄνομα μονοσύλλαβον. p. 124.

Τὸ δέκατον πέμπτον, τὰς πλαγίας τῶν ὀνο-

---

7) Ἕκτον ἀρξάμενον ἀπὸ τῶν εἰς βος συμπληροῖ.

8) ὀνομάτων abest.

9) Τὸ τρισκαιδέκατον περὶ οὐδετέρων ὀνομάτων διέξεισι.

μάτων κανονίζει, καὶ τοὺς κατὰ κλίσιν ἀριθμοὺς καὶ τοὺς κατὰ θέμα εἰρημένους. *p. 127.*

Τὸ ἑνκαιδέκατον περιέχει πᾶν ῥῆμα καὶ πᾶσαν μετοχήν. *p. 148.*

Τὸ δέκατον ἕβδομον περιέχει πᾶν ῥῆμα τῶν εἰς μι, καὶ περὶ συνθέτων ῥημάτων. [10]) *p. 168.*

Τὸ δέκατον ὄγδοον, ἀντωνυμίας, ἄρθρα καὶ προθέσεις περιέχει. *p. 173.*

Τὸ δέκατον ἔνατον περιέχει ἐπιῤῥήματα καὶ συνδέσμους [11]). *p. 181.*

10) Τὸ δέκατον ἕβδομον — ῥημάτων absunt.

11) Post v. συνδέσμους leguntur haec: Τὸ εἰκοστὸν, περὶ χρόνων τῶν ἐν φωνήσι καὶ πνευμάτων. ἐπὶ δὲ τοῖς εἴκοσι ἐν ἄλλῳ βιβλίῳ τὸ ἀναγνωστικὸν εἶδος κατὰ τὴν σύνταξιν τῶν λέξεων παραδίδοται ἀκολούθου μετὰ τὴν δήλωσιν τῆς καθ' ἑκάστην προσῳδίας γινομένην διδασκαλίαν περὶ διαστολῆς καὶ συναλοιφῶν καὶ τῶν ἄλλων τῶν παρακολουθούντων τῇ ἀναγνώσει, οἷον ὅτε τὸ ζεὺς ὀξυνόμενον οὐκ ἔχει τὴν ὀξεῖαν ῥωννυμένην, ἐν τῷ ζεῦ δ' ἐπεὶ οὖν τρῶας, ἀλλ' ἐγκλινομένην διὰ τὴν ἐπιφορὰν τοῦ συνδέσμου. ἐν γοῦν τῷ ζεύς τε καταχθόνιος ῥώννυται διὰ τὴν ἐπιφορὰν τοῦ τέ. ἡ δὲ οἱ ἀντωνυμία περισπωμένη ἐν τῷ οἱ αὐτῷ θάνατον, οὐκ ἐφύλαξε τὴν περισπωμένην ἐν τῷ καὶ οἱ ἐπευχόμενος, τῆς συντάξεως τοῦτ' ἀπαιτούσης τοῦ σημαινομένου. οὕτως ἔχει καὶ τὸ μάχῃ ἐνι κυδιανείρῃ, καὶ ὅσα ἄλλα.

Τὰ εἰς αν λήγοντα ἁπλᾶ ὀνόματα ὀξύνεσθαι θέλει κ. τ. λ.

[1])'Αρκαδίου περὶ τόνου τῶν ὀκτὼ μερῶν τοῦ λόγου, καὶ περὶ εὑρέσεως τῶν προσῳδιῶν, καὶ περὶ ἐγκλιτικῶν [2]) καὶ ἐγκλινομένων, ἐν ᾧ καὶ περὶ πνευμάτων καὶ χρόνων. [3])

Τὸ ἐφικέσθαι τῆς ἐν προσῳδίαις καθολικῆς ἀναλογίας ποθοῦντες, πρὸς δὲ τὸ μῆκος τῆς Ἡρωδιανοῦ πραγματείας ἀπαγορεύοντες, ἡ δι' ἐπιτομῆς παράδοσις ὀνήσει πρὸς τὸ βούλημα. Σκόπει οὖν εἴ τι καὶ ἡμῖν ἤνυσται χρήσιμον εἰς συντομίαν, ἀλλὰ καὶ εἰς σαφήνειαν. ἐπεὶ γὰρ τὸ πολύυλον τῶν ὁρισμῶν ἐν πολλοῖς κανόσιν ἀθρόως κείμενον δύσληπτον ἦν, καταδιηρέθη τοῦτο, ἵν' εὔληπτα γένηται διαιρεθέντα, ὑφ' ἓν κείμενα τῷ Ἡρωδιανῷ· τὸ γὰρ ἅμα γένος, εἶδος, σχῆμα, κατάληξιν, παράληξιν, ἀρχὴν, χρόνον, στοιχεῖον, πάθος, παρατηρεῖν, καὶ ὅσα ἄλλα, ἢ τὰ πλεῖστα τούτων, χαλεπὸν καὶ δυσέφικτον. ἐφ' ἑκάστῳ δὲ τῶν τοιούτων ὁρισμῶν ἡ μὴ ἐπιπολλῆς ἅμα διὰ τῶν παραδειγμάτων εὐθὺς παράθεσις, ἀπαγορεύει διάνοιαν, ὥστε ῥᾷον τοῖς ἄλλοις ἀκολουθεῖν. δεῖ δὲ τὸν ἐφ' ἑκάστου κανόνος περιμένοντας λόγον, οὕτως

1) Apud Villoison. p. 117. usque ad vv. *μετὰ τοῦ σαφεστέρου — ἐπικρινεῖς.*

2) Villoison. *ἐγκλίσεως.*

3) *'Αρκαδίου — χρόνων* in Cod. alt. absunt.

ἔχειν αὐτὸν ἐντελῆ συναγόμενόν τε ἐκ τῶν κατὰ μέρος, ἵνα μὴ συντομία μόνον, ἀλλὰ καὶ σαφήνεια τοῖς ἐντευξομένοις ὑπάρχῃ. συντομίας δὲ χάριν παρεῖται τὸ διὰ ζητήσεως κανονίζειν τῶν ἀνατρεπομένων λόγον, τῶν δὲ κρατυνομένων· ἱκανὸν γὰρ τῷ κρατοῦντι λόγῳ πείθεσθαι περὶ τῆς ὀρθῆς προσῳδίας, ὅτε [4]) τῆς ὀρθότητος τὸν ἑλληνισμὸν μὴ διαμαρτάνειν, καὶ τοῦ ταύτην συνιστῶντος λόγου μὴ ἀνεπιστήμονα ἔχειν. ἀλλὰ καὶ τὸ πολὺ πλῆθος τῶν παραδειγμάτων, καὶ ἡ περὶ τῶν ἀγνοουμένων ἐν αὐτοῖς ἐξήγησις, καὶ ἡ τῆς χρήσεως αὐτῶν πολλὴ παράθεσις καταλέλειπται τῷ συγγραφεῖ· κἀκεῖθεν αὐτὰ λήψεται ὁ μὴ μόνον τὴν τῶν προσῳδιῶν ὀρθότητα ζητῶν, ἀλλὰ καὶ περὶ τὰς δυνάμεις καὶ χρήσεις φιλομαθῶν. εὐθὺς οὖν τὴν ἐν τῷ προοιμίῳ διατριβὴν περιελόντες ἐνδεικνυμένην τὸ μέγεθος τῆς πραγματείας, καὶ τῶν πρότερον γεγραφότων τὸ ἐνδεὲς ἐλέγχουσαν, ἐπ' αὐτὰ ἥξομεν τὰ πρὸς ἐπίγνωσιν τῆς ἀναλογίας κατεπείγοντα. εἰ δὲ τὸ συντομώτερον τοῦ πρὸς ἡμῶν ἐπειγομένου πεποιήκαμεν ὥσπερ ἐζήτησας, μετὰ τοῦ σαφεστέρου καὶ εὐσυνόπτου τοῖς πολλοῖς ἐπικρινεῖς [5]).

---

4) Villoison. p. 147.: „lege ὥστε".

5) Post ἐπικρινεῖς in Cod. alt. incipit *Πίναξ*, ut supra monui.

Τὰ εἰς ν̄ λήγοντα ὀνόματα ἀρσενικὰ καὶ θηλυκά. [6])

Βιβλίον ά.

Τὰ εἰς αν̄ λήγοντα ἁπλᾶ ὀνόματα ὀξύνεσθαι θέλει, ἐπ' εὐθείας πτώσεως μὴ τροπὴν ἀναδεξάμενα ἀπὸ τῶν εἰς ην̄ βαρυτόνων, οἷον παιὰν, ἰὰν, ὡρεὰν, ἀλκμὰν, τιτὰν, πελεκάν.

Τὰ εἰς αν̄ σύνθετα ἀπὸ ἁπλῶν ῥημάτων πάντα βαρύνονται, οἷον αἰγίπαν, ἑρμόπαν, αἰνοτίταν. τὸ δὲ καρβὰν ὀξύνεται, καὶ ὅσα μὴ ἀπὸ ἁπλῶν ῥημάτων.

Τὰ εἰς ην̄ λήγοντα μὴ συντεθειμένα ἀπὸ τῶν εἰς ην̄ ῥημάτων, εἰ ἔχει [7]) πρὸ τοῦ ην̄ δασὺ σύμφωνον ἢ ψιλὸν, ὀξύνεσθαι θέλει, οἷον, ἀρχὴν, εὐχὴν, καὐχὴν, κηφὴν, ὀρφήν.

Τὰ εἰς ην̄ ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ τὸ ᾱ ἤτοι μόνον, ἢ καὶ σὺν ἑτέρῳ φωνήεντι, δισσύλλαβα ὀξύνεται, εἰ μὴ ἔχοι οὐδετέρου προσχηματισμὸν, οἷον ἀγὴν, αὐχὴν, ἀτμὴν, ἀπτὴν, ἀδὴν, ἡ νόσος.

Τὰ εἰς ην̄ λήγοντα ἔχοντα πρὸ τοῦ η̄ τὸ σ̄, ἢ διπλοῦν σύμφωνον παραληγόμενον τῇ οῡ διφθόγγῳ, ὀξύνεσθαι θέλει, εἰ μὴ παρασχηματίζοιτο οὐδετέρῳ γένει, οἷον ἐσσὴν, καμασσὴν, οἰχθὴν, νασσὴν, ἐρσὴν, αἰζὴν, ἀζὴν, ἐψήν.

---

6) Τὰ εἰς ν̄ λ. ὀ. ἁ. κ. θ. absunt.

7) ἔχοι.

Τὰ εἰς ην λήγοντα ὀξύνεται, βαλλὴν, τελλὴν, ὠλλὴν, σωλλὴν, κελὴν, σιπελήν. σεσημείωται τὸ ἕλλην βαρυνόμενον.

Τὰ εἰς ην ἁπλᾶ ἔχοντα δεδιπλασιασμένον σύμφωνον ὀξύνεται, εἰσσὴν, ὀσσὴν, τελλὴν, βαλλὴν, πλὴν τοῦ ἕλλην. τὸ δὲ ἄῤῥην ἀττικῶς ἀπὸ τοῦ ἄρσην γέγονε.

Τὰ εἰς ην κατ' ἐπιπλοκὴν δύο συμφώνων ὀξύνεται· πυθμὴν, κερβὴν, πλὴν τοῦ ἕκτην.

Τὰ εἰς ην ἔχοντά τι τῶν μέσων πρὸ τοῦ η ὀξύνεται, ὁπότε διχρόνῳ παραλήγοιτο, ἢ φύσει μακρᾷ, οἷον ὠγὴν, ἀδὴν, ἀττὴν, ἀτταγὴν, τριβὴν, ὁ τρίπους.

Τὰ εἰς ην ὑπὲρ δύο συλλαβὰς χαίρουσι τῇ ὀξείᾳ, οἷον ἀτταγὴν, κορδυλὴν, μαραθὴν, δοθὴν, πλὴν τοῦ περπέρην.

Τὰ εἰς ην ἀπὸ ῥητῶν ἤτοι διαλεγομένων τῶν εἰς ην βαρύνεται, οἷον ἕλλην, φιλέλλην, εἴρην, μελείρην, ποιμὴν, ἀρχιποίμην.

Τὰ εἰς μην ὀξύνεται, εἰ μὲν σύνθετα ἀπὸ ἁπλῶν εἴη τῶν εἰς μην, δαμὴν, λιμὴν, ὑμὴν, ποιμήν.

Τὰ εἰς ρην καθαρὸν μὴ ἔχοντα πρὸ τέλους συλλαβὴν εἰς τὸ ε φωνῆεν καταλήγουσαν ὀξύνεται, εἰρὴν, πιρὴν, διπρὴν, πλὴν τοῦ ἄῤῥην.

Τὰ εἰς ρην καθαρὸν παραλήγοντα[8]) ὀξύνεται, οἷον ἔῤῥην, τέῤῥην, θέῤῥην ποταμὸς, πέῤῥην.

8) καθαρὸν τῶ παραλήγοντα (sic).

Τὰ εἰς ην δικατάληκτα ἁπλᾶ μὲν ὀξύνεται, δελφὶν καὶ δελφὶς, τριχὶν καὶ τριχὶς[9]), σαλαμὶν καὶ σαλαμὶς, ἀκτὶν καὶ ἀκτίς. σύνθετα δὲ βαρύνεται, εὐάκτιν, χρυσάκτιν.

Τὰ εἰς υν λήγοντα βαρύνεται ἐξαιρέτως παρὰ τοῖς αἰολεῦσι, φόρκυν, πόλτυν, γόρτυν, τέκτυν, ὁ τέκτων.

Τὰ εἰς βων δισύλλαβα ἀρσενικὰ βαρύνεται, εἰ μὴ μέρος σώματος δηλοῖ, οἷον στείβων, τρίβων, στρἀβων, ἄμβων.

Τὰ εἰς βων ὑπερδισύλλαβα ὀξύνεται, ἀλαβὼν, ἀρράβων. τὸ δὲ χαρναβῶν περισπᾶται.

Τὰ εἰς γων δισύλλαβα ἀρσενικὰ, ὁπότε μὴ περιεκτικὴν ἔχει δύναμιν διὰ τοῦ ο κλίνοιτο κατὰ τὴν πρὸ τέλους συλλαβὴν, βαρύνεται· οἷον πύργων, αἴγων, μέγων. τὸ δὲ φλεγὼν καὶ ἀγὼν ὀξύνονται.

Τὰ εἰς γων ὑπὲρ δύο συλλαβὰς ὀξύνεται καὶ βαρύνεται. καὶ βαρύνεται μέν, ὅσα φυλάττει τὸ ω κατὰ τὴν γενικὴν, καὶ διὰ τοῦ ντ κλίνεται, ἐλέγων, λάγων[10]), προάγων, σαλάγων, ἐρίγων. ὀξύνεται δὲ διὰ τοῦ ο κλινόμενα, εἰ μὴ ἀπὸ συνθέτου τοῦ ος παρώνυμα ὑπάρχοι· οἷον παφλαγὼν, λαιστρηγὼν[11]), ἀρηγὼν ὁ σύμμαχος, πλὴν τοῦ καταπύγων· τὰ γὰρ ἀπὸ συνθέτων εἰς ος παραχθέντα κατὰ τοῦ αὐτοῦ σημαινομένου βαρύνεται· ἄπειρος, ἀπείρων, ἄναιμος, ἀναίμων, ἀγκύλος, ἀγκύλων.

9) τελχὶν καὶ τελχὶς pro τριχὶν καὶ τριχὶς.
10) ἀάγων pro λάγων.
11) λαιστρυγὼν.

Τὰ εἰς δων δισύλλαβα ὀξύνεται καὶ βαρύνεται. βαρύνεται μὲν, ὅσα ἐστὶν ἀρσενικὰ διὰ τοῦ ντ κλινόμενα καὶ φυλάττοντα τὸ ω κατὰ τὴν γενικὴν, χωρὶς τῶν συνεμπιπτόντων πόλει, οἷον κώδων, φαίδων, φείδων, κλύδων, κνώδων. τὸ δὲ σιδὼν πόλις. ὀξύνεται δὲ τὰ διὰ τοῦ ο μόνου κλινόμενα, οἷον μυγδὼν, σαρδὼν, σινδών.

Τὰ εἰς δων ὑπὲρ δύο συλλαβὰς, εἰ παραλήγοιτο τῷ ο, ἢ α, ἢ υ, βαρύνεται, οἷον ἀκόδων, κινάδων, κορύδων.

Τὰ εἰς δων ὑπερδισύλλαβα ὀξύνεται, παραλήγοντα τῷ ο[12]), ἢ ὀνόματα ὄντα πόλεων, ἢ ἐθνικὰ, ἀμυδὼν, καλυδὼν, ἀσπιδὼν, χελιδών.

Τὰ εἰς δων θηλυκὰ ὀξύνεται, ληθεδὼν, τηκεδὼν, σηπεδὼν, ἀριδών.

Τὰ εἰς ζων λήγοντα ἀρσενικὰ βαρύνεται, ὁπότε μὴ εἴη ὑπερδισύλλαβα, ἢ πρὸ τέλους ἔχοι μακρὸν τὸ α πόλει ὁμωνυμεῖ, οἷον μείζων, ῥίζων, ὀλίζων. τὸ δὲ ἀλαζὼν ὁ ὑπερήφανος ὀξύνεται. τὸ δ' ἐπὶ ἔθνους φυλάττει τὸ ω ἐν ταῖς πλαγίαις.

Τὰ εἰς ηων βαρύνεται, παιήων, ξενήων.

Τὰ εἰς θων δισύλλαβα ἀρσενικὰ βαρύνεται, ὁπότε μὴ ἐθνικὰ εἴη ἢ περιεκτικὰ, μώθων, ὤθων, μάθων ὁ θηβαῖος, πήθων ὁ πίθηκος ὑποκοριστικῶς, ῥίνθων, αἴθων. τὸ δὲ πυθὼν πόλις, καὶ σιθὼν, καὶ πιθὼν, καὶ κιθὼν ὁ χιτὼν ὀξύνεται.

---

12) ῑ pro ο.

Τὰ εἰς θων ὑπὲρ δύο συλλαβὰς βαρύνεται, ὁπότε μὴ τόπου ἢ ὄρους ὄνομα ὑπάρχοι, ἢ διὰ τοῦ ντ κλίνοιτο, καὶ φυλάττει τὸ ω τῆς εὐθείας, οἷον φαέθων φαέθοντος, πυριφλεγέθων πυριφλεγέθοντος, κιναίθων, ἐνοσίχθων. τὸ μέντοι μαραθὼν, ἀργαθὼν ὀξύνεται. τὸ δὲ ἱπποθῶν περισπᾶται φυλάττον καὶ τὸ ω μέγα, καὶ διὰ τοῦ ντ κλινόμενον.

Τὰ εἰς κων δισύλλαβα ἀρσενικὰ, ὁπότε μὴ εἴη περιεκτικὰ, ἢ μέρος σώματος σημαίνοντα [13]), βαρύνεται, χάλκων, δράκων, αἴκων [14]), λάκων. τὸ δὲ κροκὼν, πευκὼν, χαλκὼν ὡς περιεκτικὰ ὀξύνεται, καὶ τὸ ἀγκὼν μέρος σώματος, καὶ τὸ ἀγκὼν πόλις, ὡς θηλυκὸν, καὶ τὸ ἐρκὼν [15]).

Τὰ εἰς κων ὑπὲρ δύο συλλαβὰς ὀξύνεται καὶ βαρύνεται καὶ περισπᾶται. τὰ μὲν οὖν διὰ τοῦ ντ κλινόμενα καὶ ο παραληγόμενα περισπᾶται, ἱπποκῶν, λαοκῶν. τὰ μέντοι μὴ οὕτως καὶ παραληγόμενα τῷ α ὀξύνεται, εἰ ἔστι τοπικώτερα, οἷον χαρακὼν, ἀνθρακὼν, δαρμακὼν τὸ βαφεῖον· τοιοῦτο καὶ τὸ γυναικὼν, ἑλικὼν, ὡς τοπικόν· τὸ μέντοι τριάκων, σαλάκων, καὶ αἰολεσίκων ὑγιῶς βαρύνεται· οὐ γάρ εἰσι τοπικά.

Τὰ εἰς λων δισύλλαβα βαρύνονται μὴ ὄντα τοπικὰ, οἷον δόλων, φίλων, γέλων. τὸ δὲ αὐλὼν καὶ μυλὼν ὡς τοπικὰ ὀξύνονται.

---

13) σημαίνοι.

14) πίκων pro αἴκων.

15) ἐρκών (sic).

Τὰ εἰς ων̄ λήγοντα ὑπὲρ δύο συλλαβὰς βαρύνονται, μὴ ὄντα περιεκτικὰ, ἀπόλλων, κεφάλων. τὸ δὲ ἀμπελὼν, καὶ μηλὼν, ὡς περιεκτικὰ ὀξύνονται· τὸ βαβυλὼν ἀρσενικῶς, ἀφ' οὗ καὶ ἡ πόλις, ὁμοίως καὶ τὸ μιμαλὼν θηλυκὸν, σημαίνει δὲ μαινάδα[16]).

Τὰ εἰς μων δισύλλαβα μὴ ὄντα τοπικὰ, ἢ ἐπὶ καιροῦ λαμβάνοιτο, ἢ ἔχοι πρὸ τοῦ τέλους τὸ υ ἐκτεταμένον, βαρύνεται, ἔρμων, σάλμων, τίμων, σίμων. τὰ μέντοι ὀξυνόμενα τοπικά ἐστιν, ἢ ἐπὶ καιροῦ λαμβάνοιτο, ἢ ἔχοι τὸ ῡ ἐκτεταμένον· καὶ τὸ κρεμὼν ὀξύνεται.

Τὰ εἰς μων ὑπὲρ δύο συλλαβὰς, εἰ παραλήγοιτο φύσει ἢ θέσει μακρᾷ, βαρύνεται, ἀμύμων, ἐγκύμων, ἡγήμων, φιλήμων.

Τὰ εἰς μων ὑπὲρ δύο συλλαβὰς παραληγόμενα ᾰ βραχεῖ, καὶ μὴ κλινόμενα διὰ τοῦ ντ, ὀξύνεται· εἰ δέ τι ἐβαρύνθη, ὡς κύριον. καὶ ὀξύτονα μὲν τελαμὼν, καὶ τὸ κύριον καὶ τὸ προσηγορικὸν, καλαμὼν, πλαταμὼν, κεραμὼν, περιεκτικόν· κεράμων δὲ τὸ κύριον, ὡς τὸ ποτάμων, ἀσσάμων. τὸ δὲ τεράμων βαρύνεται, ὡς διὰ τοῦ ντ κλινόμενον.

Τὰ εἰς μων ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν βραχεῖαν, ὑπεσταλμένης τῆς εἰς τὸ ᾰ παραλήξεως, εἰ μὴ ἐγκλίνοιτο διὰ τοῦ νος, τῆς πρὸ τέλους οὔσης διὰ τῆς ο̄, ὀξύνεται· εἰ δὲ διὰ τοῦ ε̄, βαρύνεται, οἷον ἐπὶ τῶν βαρυτόνων, ἀρτέμων, πο-

16) ἤτοι μαινὰς pro σημαίνει δ. μ.

λέμων, διδύμων. τῶν δὲ ὀξυτόνων τὸ τυμὼν, ἰτυμὼν, κηδεμὼν, ἀκρεμὼν, ἐθνυμὼν τὸ ἔθνος.

Τὰ διὰ τοῦ αιμων βαρύνεται, δαίμων, αἵμων, ἀναίμων, κακοδαίμων.

Τὰ εἰς νων μὴ ἔχοντα ἐν ἐπιπλοκῇ σύμφωνον, ἢ κατὰ διάστασιν, εἰ μὴ ἐπὶ πόλεως εἴη, ἢ περιεκτικὰ, βαρύνεται, μέμνων, ἄμφνων, ἄγνων. τὸ καρνὼν ὡς ἐπὶ πόλεως ὀξύνεται· καὶ τὸ δαφνὼν, ὡς περιεκτικόν.

Τὰ εἰς νων ἔχοντα τὴν πρὸ τέλους εἰς φωνῆεν ἢ φωνήεντα λήγουσαν, εἰ μὴ τοπικὰ εἴη, βαρύνεται, ἢ ἰσοδυναμεῖ τοῖς διὰ τοῦ ωνος, οἷον κώνων, σίνων. τὸ δὲ καμὼν ὀξύνεται, προσέτι [17]) πλαταιὼν καὶ ξενών.

Τὰ εἰς ξων, ὁπότε μὴ εἴη ἐπίθετα, δυνάμενα καὶ ἐπὶ θηλυκοῦ τάττεσθαι, βαρύνονται, ἄξων, πράξων. τὸ μέντοι δραξὼν ὀξύνεται ὡς ἐπιθετικόν.

Τὰ εἰς πων μὴ ὄντα περιεκτικὰ βαρύνεται, λάμπων, δράπων ὁ δραπέτης, δούπων, ἵππων τὸ κύριον, ἱππὼν περιεκτικὸν, πέπων τὸ πεπώνιον, πεπὼν περιεκτικόν.

Τὰ εἰς ρων μετ' ἐπιπλοκῆς συμφώνου, εἰ μὴ εἴη περιεκτικὰ, ἢ ἐπὶ πόλεων, ἢ διὰ τοῦ ντ κλίνεται, βαρύνεται, ἄβρων [18]), πρόφρων, μάκρων. τὸ μέντοι ἀντρὼν, λουτρὼν, ὡς περιεκτικὰ ὀξύνεται. τὸ δὲ ἐξικρὼν, καὶ ἑρμοκρὼν, ὡς διὰ τοῦ ντ κλινόμενα ὀξύνεται.

17) καὶ pro προσέτι.
18) ἄβρων.

Τὰ εἰς ρων μετ' ἐπιπλοκῆς συμφώνου, εἰ μὴ εἴη περιεκτικὰ, ἢ ἐπὶ πόλεων, ἢ διὰ τοῦ ντ κλινόμενα, βαρύνεται, ἄφρων, πρόφρων, μάκρων. τὸ μέντοι ἀντρὼν, λουτρὼν, ἀνδρὼν, ὡς περιεκτικὰ ὀξύνεται. τὸ δὲ ἐξικρὼν, καὶ ἑρμοκρὼν, ὡς διὰ τοῦ ντ κλινόμενα, ὀξύνεται.

Τὰ εἰς ρων μὴ παραληγόμενα τῇ οι ἢ αι διφθόγγῳ, εἰ μὴ τοπικὰ εἴη ἢ πόλει ὁμωνυμεῖ, βαρύνονται, θήρων, νέρων, γέρων, τήρων. τὸ δὲ οἰρὼν καὶ σχαιρὼν διὰ τὰς διφθόγγους, καὶ τὸ προθυρὼν, ἀχυρὼν, πλευρὼν, ὡς τοπικὰ ἢ ὁμώνυμα.

Τὰ εἰς σων ἀρσενικὰ, εἰ μὴ ἐθνικὰ εἴη, ἢ περιεκτικὰ, βαρύνονται, παύσων, θράσων, αἴσων, ἰάσων. τὸ δὲ λοσὼν πόλις, καὶ τὸ κισσὼν, ὡς περιεκτικόν.

Τὰ εἰς των μὴ περιεκτικὰ διὰ τοῦ ο κλινόμενα βαρύνεται· εἰ δέ τι ὀξυνθῇ, τοῦτο διαστολὴν ἀνεδέξατο βαρυνομένου, πλούτων, πλᾶτων, κράτων, χίτων ποταμός· χιτὼν δὲ τὸ ἱμάτιον. τὸ ἀρίστων, ἑκάτων, χαρίτων βαρύνονται· τὸ δὲ κοιτὼν, ἰστὼν, προβατὼν ὡς περιεκτικὰ ὀξύνεται.

Τὰ δὲ διὰ τοῦ υων ὑπὲρ δύο συλλαβὰς καὶ βαρύνεται καὶ ὀξύνεται. καὶ βαρύνεται μὲν, ὅσα κλίνεται διὰ τοῦ ω, μὴ συνεμπίπτοντα πόλεσιν, ὡς ἔχει ἀμφιτρύων, ἠλεκτρύων. τὸ δὲ σικυὼν ὀξύνεται. τὰ μέντοι κατὰ γενικὴν τρέποντα τὸ ω εἰς ο ὀξύνεται, ἀλεκτρυὼν, γηρυὼν, ἀμφικτυών[19]).

19) ἀλεκτριών, γηρυάν, κερκυών, ἀμφικτυών.

Τὰ εἰς φων ἀρσενικὰ σύνθετα διὰ τοῦ ντ κλινόμενα περισπᾶται, ἀγλαοφῶν, ξενοφῶν, ἀντιφῶν, δημοφῶν. τὸ μέντοι κολοφὼν ὀξύνεται.

Τὰ εἰς χων δισύλλαβα ἀρσενικὰ βαρύνονται μὴ ὄντα μηνῶν ὀνόματα, βρύχων, τρύχων, σπέρχων. τὸ δὲ γλίχων ὤφειλε βαρύνεσθαι. εἰ δὲ θηλυκὸν καὶ διὰ τοῦ β, ὀξύνεται. τὸ δὲ παχὼν ὀξύνεται, ὄνομα μηνὸς παρ' αἰγυπτίοις ὄν. τὸ δὲ πολυαπερχῶν διὰ τοῦ ντ περισπᾶται, ὡς ξενοφῶν καὶ ἱπποκῶν [20]). ιοσεσημείωται τὸ ποσειδῶν, καὶ ταῶν, καὶ τυφῶν, περισπώμενα μέν, οὐ μέντοι διὰ ντ [21]) κλινόμενα.

Τὰ εἰς ων θηλυκὰ μὴ ἐπὶ πόλεων κατηγορούμενα ὀξύνεται, ὁπότε μὴ διὰ τοῦ ο κλίνεται, χιών, λαγών, τρυγών, ταγών, γοργών. τὸ δὲ τριή [22]), ιεμήκων, γλίχων, βαρύνονται, φυλάττοντα τὸ ω ἐπὶ τῆς γενικῆς.

Τὰ εἰς ων δισύλλαβα ἐπὶ πόλεων ὀξύνονται· εἰ δέ τι βαρυνθῇ, ἑτέρῳ χαρακτῆρι, ἢ διαστολῇ σημαινομένου, ἰών, πλευρών, πυθών, σιδών. τὸ ἴτων βαρύνεται, ὡς ἐν ἑτέρῳ χαρακτῆρι ὑποπεσόν· καθόλου γὰρ τὰ εἰς των δισύλλαβα, φύσει μακρὰ παραληγόμενα, βαρύνεται μὴ ὄντα τοπικὰ, διὰ τὸ κοιτών. τὰ δὲ βαρύτονα, πλούτων, γείτων, τρίτων, σούλμων πόλις Σικελίας, πλὴν τοῦ κροτών.

---

20) διὰ τοῦ ντ κλινόμενον περισπάσθη. τὰ εἰς ων ἐν τέλει ἔχοντα τὸν τόνον καὶ κλινόμενα διὰ τοῦ ντ περισπᾶται, ξενοφῶν, ἱπποκῶν.

21) διὰ τοῦ ντ.

22) τριήρων.

Τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς ἐπὶ πόλεων ὀξύνεσθαι θέλει, εἰ μὴ εἰς λων λήγοι, ἔχοντα πρὸ τοῦ τέλους ω, ἢ ἔννοιαν συνθέσεως, ἐλαιὼν, μηδεὼν, σικυὼν, βαβυλὼν. σεσημείωται τὸ ἀσκάλων, καὶ ἀσσάλων.

Τὰ εἰς ων σύνθετα ἀπὸ ἁπλῶν συντεθειμένα ῥητὰ ἀπὸ βαρυτόνων βαρύνονται, ἀνακρέων, χαμαιλέων. τὰ δὲ ἀπὸ περισπωμένων περισπῶνται, φιλοξένοσφῶν· καὶ τὰ ἀπὸ ὀξυτόνων φυλάττει τὴν ὀξεῖαν, φιλομαπεδὼν, ἱππαλεκτρυών.

Τὰ εἰς ων ὀξύτονα δισύλλαβα καὶ μονοσύλλαβα ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον, ὁπότε μὴ σχέσει τονικὴ ἥνωται, ὡς ἔχει τὸ κατὰ συνήθειαν, προκοιτὼν, προπυλὼν, προθυρών. τὰ δὲ ἄλλα ἀναβιβάζουσι τὸν τόνον, οἷον βαθυλείμων, ἀχίτων, αὐτόχθων.

Αἱ εἰς ων λήγουσαι μετοχαὶ δισύλλαβοι ὀξυτονούμεναι καὶ ὀνόματα κλινόμενα μετατιθέασι τὸν τόνον, οἷον ἀμφίων, ὑπερίων. Καὶ τοσαῦτα περὶ τῶν εἰς ν ληγόντων ἀρσενικῶν καὶ θηλυκῶν.

Τὰ εἰς ων τοὺς τρεῖς ἐπιδέχεται τόνους, τὰ μὲν γὰρ ὀξύνεται, ὡς αἰὼν, τὰ δὲ βαρύνεται, ὡς πλάτων, τὰ δὲ περισπᾶται, ὡς ξενοφῶν.

Τὰ εἰς ων συγκριτικὰ καὶ ὑποκοριστικὰ βαρύνεται, ἀτρείων, κρονίων, μωτίων, ἡφαιστίων.

Τὰ διὰ τοῦ αων ἀρσενικὰ δισύλλαβα παραληγόμενα α βραχεῖ βαρύνεται, μὴ ὄντα περιεκτικὰ,

φάων, κάκων [23]), κρέων, λέων, νέων, νεῶν δὲ ὡς περιεκτικόν.

Τὰ διὰ τοῦ ιων βραχεῖ παραληγόμενα βαρύνεται, ἡμαθίων, ἐνδυμίων.

Ἔτι καὶ τὰ ἔχοντα τὸ ι μακρὸν, κίων, πρίων, ἐχίων, δηΐων, ἀμφίων, βραχίων.

Ἔτι τὰ διὰ τοῦ αων, μαχάων, ποσειδάων, ἀρετάων. Τὰ εἰς ων ὀνόματα μηνῶν ἢ χρόνων ὀξύνεται, ποσειδεών, ἐλαφηβολιών, καὶ τὰ τοπικὰ περιεκτικὰ, ἀγών, ἱππών, ἀνδρών.

Τὰ διὰ τοῦ αιων ὑπερδισύλλαβα, εἰ μὴ εἴη ὀνόματα μηνῶν ἢ ποταμῶν, βαρύνονται, οἷον εὐφραίων, ἀκταίων, εὐαίων.

Καὶ περὶ μὲν τῶν εἰς ν ληγόντων τοσαῦτα [24]).

Περὶ τῶν εἰς ξ καὶ εἰς ρ καὶ εἰς ας ληγόντων ὀνομάτων.

Βιβλίον β.

Πᾶν ὄνομα εἰς ξ λῆγον ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, εἰ μὴ παρὰ ῥῆμα εἴη συντεθειμένον, καὶ μίαν συλλαβὴν φυλάττοι τοῦ ῥήματος, καὶ ἐπιθετικὸν ὑπάρχοι, μὴ ἐθνικὸν, φαίαξ, θώραξ, ἄναξ, κλίμαξ, αὔλαξ· τὸ διασφὰξ ὀξύνεται.

Τὰ δὲ ἀπὸ ῥήματος συγκείμενα, βλεφαριπὰξ, καὶ κιτροβαστὰξ, καὶ νεκροβαστάξ. τὸ δὲ ἄσφαξ βαρύνεται ὡς ἐθνικόν.

---

23) κεων (sic).

24) Καὶ περὶ μ. τ. ε. ν λ. τ. absunt.

Τὰ εἰς εξ, καὶ ιξ, καὶ οξ, καὶ υξ, πάντα βαρύνεται, λέλεξ, πέρδιξ, παππάδοξ, κῆρυξ.

Τὰ εἰς ηξ μὴ ὄντα σύνθετα ἐπιθετικὰ βαρύνεται, μύρμηξ, σκώληξ, ἀλώπηξ.

Τὰ εἰς ηξ σύνθετα παρὰ ῥῆμα ὀξύνεται, εἰς ἐπιθετικὰ εἴη, βουπλὴξ, κωμοπλὴξ, μεθυπλήξ. τὸ ὕσπληξ καὶ ἀντίσπληξ βαρύνεται, ὅτι οὐκ ἐπιθετικά. τὸ δὲ χηναλώπηξ καὶ αὐτὸ βαρύνεται, ὡς τὸ χαμαισκώληξ, λεοντομύρμηξ.

Τὰ εἰς ωξ ὀξύνεται, ὅσα μίαν συλλαβὴν ἔχει ἐπὶ τέλους ἐν τῇ συνθέσει, ἀποῤῥῶξ, κναμοτρωξ, θυλακοτρωξ, φυλάξαντα συλλαβὰς ἐν τῇ συνθέσει.

Περὶ τῶν ληγόντων εἰς αρ.

Τὰ εἰς αρ ὑπὲρ μίαν, εἴτε ἀρσενικὰ, εἴτε οὐδέτερα, βαρύνεται, μάκαρ, δάμαρ, ὄναρ, αὔθαρ.

Ἔτι τὰ εἰς ωρ, ῥήτωρ, κέλωρ, ἄπωρ.

Ἔτι τὰ εἰς υρ, οἷον μάτυρ, κέρκυρ, ἴλλυρ, λίγυρ.

Τὰ εἰς ηρ ὀξύνεται καὶ βαρύνεται. καὶ ὀξύνεται μὲν ἁπλᾶ ὄντα ἀρσενικά. ὁ δὲ λόγος τοῦ προηγουμένου τοῦ η, στατὴρ, ἑλατὴρ, καμπτὴρ, ἐξαυστήρ. ἐξαύτηρ δὲ κύριον, ὡς τὸ ἀμάτηρ καὶ ἄντηρ, καὶ ἄστηρ κύριον. ἀρσενικὰ δὲ εἶπε διὰ τὰ θηλυκά. καὶ γὰρ τὰ εἰς ηρ θηλυκὰ μὴ μεταθέμενα κατὰ τὸ ἔθος ποιητοῦ εἰς διάφορον γένος βαρύνεται, μήτηρ, θυγάτηρ, δημήτηρ. τὸ δὲ γαστὴρ ὀξύνεται.

Τὰ εἰς ηρ ἐθνικὰ ἢ πύρια, μὴ συναμπίπτοντα προσηγορικοῖς, βαρύνονται, ἴβηρ, ἀνίβηρ [25]), δόμηρ, πίηρ. τὸ μέντοι ἐλευθὴρ ὀξύνεται, ὡς τὸ ἀστήρ.

Τὰ εἰς ηρ ἁπλᾶ, μὴ ὄντα σύνθετα, μηδὲ ἐθνικὰ, ὀξύνεται, ἀνὴρ, ἀὴρ, αἰθὴρ, σπινθήρ. τὸ μέντοι ἐρίηρ, ὡς σύνθετον, βαρύνεται.

Τὰ εἰς ηρ ὀξύτονα, φυλάττοντα τὸ η κατὰ τὴν γενικὴν, φυλάττει καὶ τὸν τόνον ἐν τῇ συνθέσει, οἷον δετὴρ, ἀμαλλοδετὴρ, στατὴρ, ὁβολοστατήρ. τὸ μέντοι ἀνὴρ, διπάνηρ, δαὴρ, πολυδάηρ, πατὴρ, πολυπάτηρ [26]), ὡς μὴ φυλάττοντα τὸ η, βαρύνονται. καὶ τὸ πάνθηρ καὶ σατυρόφηρ ἀπὸ μονοσυλλάβων.

Τὰ εἰς ειρ ὑπὲρ μίαν συλλαβὴν ἀσυνήθη μὲν, τὰ δὲ εὑρεθέντα βαρύνεται, βλέχειρ, σάπερ, ἐλεάζειρ, λίγειρ, ἐλάτειρ, ἑκατοντάχειρ, ἀντίχειρ. ἔτι καὶ τὰ μονοσύλλαβα, οἷον χειρ, φθειρ, εἴρ.

Τὰ εἰς ωρ πάντα βαρύνονται, νέστωρ, ἕκτωρ, κάστωρ, ἄχωρ τὸ τῆς κεφαλῆς πιτύρισμα. τὸ μέντοι ἰχὼρ ὀξύνεται.

Περὶ τῶν εἰς ας πολυσυλλάβων.

Τὰ εἰς ας πολυσύλλαβα ἐκτεταμένον ἔχοντα τὸ α βαρύνεται ἢ περισπᾶται. καὶ βαρύνεται μὲν

25) ἀννίβηρ.

26) αἰνοπάτηρ pro πολυπάτηρ.

αἴας, θόας· περισπᾶται δὲ ἀρχᾶς, πελεκᾶς. οὐδέποτε δὲ ὀξύνεται, χωρὶς εἰ μὴ ὦσιν ἀπὸ παθητικοῦ παρασύνθετα. ὅθεν τὸ ἱμὰς καὶ ἀνδριὰς, ὡς ἐκτεταμένον ἔχοντα τὸ ᾱς, σημειούμεθα ὀξυνόμενα, καὶ τὸ χαλκοκρὰς, καὶ γαλατοκρὰς, ὡς ἀπὸ παθητικοῦ παρακειμένου. βαρύνεται δὲ τὰ εἰς ᾱς καθαρὸν, ἀρχίας, λοξίας, γοργίας. τὸ μέντοι τριὰς θηλυκὸν, καὶ συστελλόμενον ἔχει τὸ ᾰ.

Τὰ εἰς βας βαρύνονται, βίβας, φόρβας, ἄββας ποταμὸς, τὸ δὲ ἀκριβᾶς περισπᾶται.

Τὰ εἰς γας πάντα βαρύνεται, εἰ μὴ ἀπὸ σκώμματος, ὡς ἔχει [27]) τὸ φαγᾶς, γίγας, μέγας. τὸ μέντοι φυγὰς ὀξύνεται, οὐκ ἔχον τὸ ᾱ ἐκτεταμένον. σεσημείωται τὸ ἀτταγᾶς περισπώμενον, ὅπερ καὶ ἀτταγὴν λέγεται.

Τὰ εἰς δας βαρύνεται, εἰ μὴ διὰ τοῦ δος κλίνοιτο ἢ συναλιλειμένα εἴη ἢ ὑποκοριστικὰ, ἴδας, βρασίδας. τὸ μέντοι θαδᾶς περισπᾶται, μητρᾶς, ζηνᾶς, πυθᾶς· τὰ δὲ κερκιδᾶς ἀπὸ συναλοιφῆς.

Τὰ εἰς ζας ἐκτεταμένον ἔχοντα τὸ πρὸ τῶν διπλῶν βαρύνονται, βύζας, ἐλίξας, ἀλείψας. τὸ μέντοι ὑψᾶς περισπᾶται, καὶ τὸ ἐξῆς ἐπὶ ποσότητος ὤν.

Τὰ εἰς λας δι' ἑνὸς λ̄ βαρύνονται, εἰ μὴ ἐν συναλοιφῆς εἴη· γέλας, ὕλας, μέλας. τὸ μέντοι ἰλιᾶς περισπᾶται ἀπὸ τοῦ ἰλέας.

Τὰ εἰς δύο λλ̄ ἐκτείνεται, κύλλας, βάλλας,

27) ὥσπερ ἔχει.

χωρὶς εἰ μὴ ἐπὶ σκώμματος εἴη, ἢ ἔχοι τι ἐντελέστερον. τὸ μέντοι πολλᾶς ὁ γέρων περισπᾶται ἐπὶ σκώμματος ὄν, καὶ τὸ ἀλλᾶς καὶ βιλλᾶς.

Τὰ εἰς μας βαρύνεται, τόλμας, ἀδάμας, εἰ μὴ κατὰ τροπὴν εἴη δωρικὴν, ὡς τὸ ἑρμᾶς, καὶ τὸ ἀρτεμᾶς ὑποκοριστικόν. σεσημείωται δὲ τὸ ἰμὰς ὀξυνόμενον.

Τὰ εἰς νας ὁμοίως, εἰ μὴ εἴη ὑποκοριστικὰ, ἢ ἐπὶ σκώμματος, ἑρπύνας, ξένας· μηνᾶς μέντοι καὶ ζηνᾶς ὑποκοριστικά. τὸ δὲ δεκᾶς περισπᾶται, ὅτι ἐπιτάσσεται.

Ἔτι τὰ εἰς ρας μὴ ὄντα ὑποκοριστικὰ, ἢ συναλιλειμμένα, ἢ μισμα (sic [28]) δηλοῦντα, θύρας, ἀθύρας [29]), πυθαγόρας. τὸ μέντοι μητρᾶς, θήρᾶς, τετρᾶς, βορᾶς περισπᾶται. τὸ δὲ τετρὰς, δος [30]), συστέλλεται.

Τὰ εἰς ας σύνθετα πάντα βαρύνεται, παιδοπίπας, εὐφαρέτρας. τὰ μέντοι χαλκοκρὰς [31]) ὀξύνεται ἀπὸ τοῦ παθητικοῦ παρακειμένου συντεθέν. τὸ δὲ φιλοπελᾶς, καὶ φιλιβορρᾶς τὸν τῶν ἁπλῶν ἐφύλαξεν τόνον.

Τὰ εἰς ας συνεσταλμένα ἀρσενικὰ καὶ θηλυκὰ ὀξύνεται, καὶ διὰ τοῦ δος κλίνεται, ὁ φυγὰς καὶ ἡ φυγὰς, ὁ ἀρπὰς καὶ ἡ ἀρπὰς, δυὰς, τριάς.

---

28) φόμισμα pro μισμα.

29) θήραι.

30) τετράδος pro δος.

31) χαλκοκρᾶς.

τὸ μέντοι μέγας καὶ λάας ὡς συστελλόμενα[32]) βαρύνονται.

Πᾶν οὐδέτερον εἰς ας βαρύνεται, γέρας, γῆρας, δέπας, δέμας, σέβας.

Βιβλιον γ'. 5

Πᾶν ὄνομα δισύλλαβον ἁπλοῦν, εἰς ης καθαρεῦον ἀσυνάλειπτον βαρύνεται, εἰ μὴ ἔχοι πρὸ τέλους μόνον τὸ υ, ναίης, δάης, κλέης, βαρύης[33]), τὸ δὲ ῥυῆς περισπᾶται ἔχον τὸ υ, ὥσπερ καὶ τὸ θυῆς, κυῆς, ἰσοσυλλάβως κλινόμενα. τὰ δὲ περιττοσυλλάβως κλινόμενα βαρύνονται, λύης λύεντος, ἐπὶ τοῦ λυήεις. καὶ τὸ ζαὴς ὡς σύνθετον ὀξύνεται. 10

Τὰ εἰς βης δισύλλαβα παραληγόμενα φωνήεντι βαρύνεται, κάβης, λέβης, κέβης, πάβης, θήβης. τὸ δὲ κιβῆς περισπᾶται ἀπὸ τοῦ κιβέως. 15

Τὰ εἰς γης δισύλλαβα βαρύνονται, χωρὶς εἰ μή τι ἐκ συνθέσεως τοῦ καταλελειμένου εἴη, ἢ παρώνυμον ἐπιθετικόν. τότε γὰρ περισπᾶται, ὅτι συναλήλειπται, ἢ βραχεῖα παραλήγοι, ἰσοσυλλάβως κλίνοιτο. καὶ ἃ μὲν βαρύτονα, μέγης, γύγης, σάγγης, μόργης. τὸ μέντοι ἀργὴς ἐπιθετικὸν, ὥσπερ καὶ τὸ ἀγὴς σύνθετον ἀπὸ τῆς γῆς, ὁ μὴ κλῶμενος. τὸ δὲ μογῆς καὶ δρογῆς ἰσοσυλλάβως κλινόμενα περισπᾶται. καὶ τὸ φθογγῆς, καὶ τὸ αὐγῆς ἐκ τοῦ αὐγέας. 20 25

---

32) συστίλλονται.

33) βρύης.

Τὰ εἰς δης δισύλλαβα μὴ διὰ τοῦ ους πλινόμενα βαρύνονται, πύδης, ἄδης, γράδης, μέδης. τὸ μέντοι ψευδὴς καὶ φραδὴς ἐπιθετικά. καὶ τὸ ποδῆς καὶ ῥοδῆς περιεσπάσθη, ὅτι τὸ ο παραλήρει.

Τὰ εἰς ης ἀσυνάλειπτα βαρύνονται, ἄνθης, σκύθης, σεύθης, λάχης, πάχης. τὸ μέντοι κριτὴς καὶ ψαλτὴς ἀττικῶς ὀξύνεται· καὶ ἔτι τὸ λιστὴς καὶ ληστής. τὸ δὲ δεσπότης ἀρσενικὸν, καὶ τὸ δεσπότις θηλυκόν.

Τὰ εἰς ης δισύλλαβα μὴ ὄντα τοπικὰ ἢ συναλιλειμμένα βαρύνονται, ἔχοντα πρὸ τοῦ η σ ἢ ξ, ξέρξης, χρύσης, κάσης. τὸ μέντοι κασῆς τὸ πιλώτιον ἱμάτιον περισπᾶται, τὸ δὲ κισσὴς ὀξύνεται, ἐπίθετον.

Τὰ εἰς νης καὶ ρης δισύλλαβα ἁπλᾶ, μὴ ἔχοντα κατ' ἐπιπλοκὴν σύμφωνον, βαρύνεται· εἰ δέ τι περισπασθῇ, τοῦτο κατὰ συναλοιφὴν ἐγένετο, ἢ ἰαμβικόν ἐστι καὶ ἰσοσύλλαβον. ὅσα δὲ ὀξύνεται, εἰς ους ἔχει τὴν γενικὴν ἢ εἰς τος. τὰ βαρύτονα, ὀπένης, πλάνης, μύνης, χλούνης, φάνης. τὸ μέντοι σθενῆς, τεχνῆς, λαχνῆς, ζαχρῆς, ἀπὸ συναλοιφῆς γίνονται. καὶ τὸ φανῆς ἰαμβικὸν ἰσοσύλλαβον.

Τὰ εἰς ης δισύλλαβα, ἔχοντα πρὸ τοῦ η ἀμετάβολον μετ' ἐπιπλοκῆς συμφώνου ἑτέρου, κύρια ὄντα ἢ προσηγορικὰ, βαρύνεται, μέσθλης, μάσθλης, μάγνης, πήγρης, ὅπλης, πέτρης, λιμήν τις· εἴ τι δὲ περισπασθῇ, κατὰ πάθος γέγονε. Τὸ μέντοι γυμνὴς, ἀβλὴς, προβλὴς, ἐπιθετικὰ ὄντα, ὀξύνεται.

Τὰ εἰς ης ἐπιθετικὰ δισύλλαβα, εἰς ους τὴν γενικὴν ποιοῦντα, καὶ μὴ παθόντα συγκοπὴν, ὀξύνεται, ψευδὴς, πρηνὴς, ζαὴς, ἀλής. τὸ δὲ βαρύνεται[34]· πλήρης γὰρ, ὡς ξιφήρης, λιγήρης. καὶ τὸ ἄρης, κύριον.

Τὰ εἰς ης δισύλλαβα κύρια ἔχοντα υ ἐν τῇ παραληγούσῃ περισπᾶται, μυῆς, θυῆς, κυῆς. βαρύνεται δὲ τὸ βρύης, κύης, περιττοσύλλαβα. γύνης δὲ οὐ κύριον.

Τὰ εἰς ης κύρια ἀπὸ ἐντελεστέρου περισπᾶται, ἑρμῆς, θαλῆς, πυλῆς, ποδῆς.

Τὰ παρὰ τὸ κλέος ἐπίθετα ὄντα ὀξύνεται, εὐκλεὴς, ἀκλεής· κύρια δὲ ὄντα, ἐν μὲν τῇ ἐντελείᾳ βαρύνεται, ἐν δὲ τῇ συναιρέσει περισπᾶται, ἡρακλέης ἡρακλῆς. καὶ τὰ εἰς ας[35], ἀρτεμέας ἀρτεμῆς.

Τὰ εἰς ης ἀπὸ τῶν εἰς εις περισπῶνται, τιμῆς, τεχνῆς, δαφνῆς.

Τὰ εἰς ης πατρωνυμικὰ, ἢ ὡς πατρωνυμικὰ βαρύνεται, πηλείδης, ἀτρείδης, κρονίδης, εὐριπίδης, θουκυδίδης.

Ἔτι τὰ διὰ τοῦ ωδης, εὐώδης, πετρώδης, δυσώδης.

Ἔτι τὰ πολυσύλλαβα παρώνυμα, εὐπατρίδης, ἑπταπόδης. τὸ δὲ ἐθελοντὴς ἀπὸ τοῦ ἐθέλοντος, καὶ ἑκοντὴς ἀπὸ τοῦ ἑκόντος, γενικῆς μετοχῆς.

---

34) τὸ δὲ πλήρης βαρύνεται.

35) εας pro ας.

Ἔτι τὰ διὰ τοῦ ολης καὶ ονης, ὀξόλης, μυριόνης [36]). τὸ μέντοι ἀκρινὴς [37]) ἐπίθετον, καὶ εἰς ους τὴν γενικὴν ἔχει.

Ἔτι τὰ διὰ τοῦ ανης κύρια, ἀριστοφάνης, θεοφάνης. τὸ δὲ ἐπίθετον θεοφανὴς ὀξύνεται. καὶ τὰ εἰς ης περσικὰ πάντα, ἀντιφέρνης.

Τὰ εἰς της πολυσύλλαβα ὀξύνεται, τευχιστὴς, ὀρχιστὴς, ἁλφιστής.

Ἔτι τὰ εἰς αρης, εἰ μὴ ἐπίθετα εἴη, κυαξάρης, παντάρης, σωχάρης.

Ἔτι τὰ διὰ τοῦ ηρης, χαλκήρης, χρυσήρης, θυμήρης, φρενήρης, τριήρης.

Ἔτι τὰ διὰ τοῦ ωρης, διώρης, λυκώρης, ὅπερ Καλλίμαχος ὀξύνει.

Τὰ εἰς της ἁπλᾶ ἀρσενικὰ, βραχεῖα παραληγόμενα, βαρύνεται, οἰκέτης, ὀφειλέτης, ἐργάτης. τὸ εὑρετὴς δὲ ὀξύνεται, καὶ τὸ ἀθλητὴς, μαθητὴς, ποιητὴς, ὅτι ἔχουσι τὴν παραλήγουσαν μακράν. τὸ δὲ προπετὴς, ἀκρατὴς, τριτὴς, σύνθετα.

Τὰ εἰς οιτης ἰσοσύλλαβα βαρύνεται, δαμοίτης, μενοίτης, θυμοίτης.

Ἔτι τὰ διὰ τοῦ ατης, τὸ ᾰ μακρὸν ἔχοντα, μὴ ὄντα ῥηματικὰ, βαρύνεται, τεγεάτης, σπαρτιάτης, ἐλεάτης [38]). τὸ δὲ θεατὴς καὶ περατὴς, ῥηματικὰ ὄντα, ὀξύνεται.

---

36) μηριόνης.

37) ἀκλινὴς.

38) ἐλεάτης.

Ἔτι τὰ ετης, τοῦ ε μακροῦ ὄντος, καὶ ειτης, πολίτης, τεμενίτης, εὑρείτης, βαθυῤῥείτης, καὶ ὅσα παρώνυμα τὸ υ μακρὸν ἔχοντα, πρεσβύτης, ἀρχύτης, πιδύτης. τὸ μέντοι κωλυτὴς, μηνυτὴς, ῥηματικὰ καὶ οὐ παρώνυμα.

39) Ἔτι τὰ διὰ τοῦ εστης, μὴ ῥηματικὰ, ὀρέστης, θυέστης, ἀκέστης. τὸ μέντοι κηδεστὴς καὶ ἀρχεστὴς ἐπιθετικὰ ὀξύνονται.

Ἔτι βαρύνονται τὰ παρὰ τὸ ὅλλω, πανώλης, ἐξωλης, προώλης.

Τὰ εἰς ης ἐπίθετα παρὰ ῥῆμα σύνθετα εἰς ους ποιοῦντα τὴν γενικὴν ὀξύνεται, εὐσεβὴς, εὐλαβὴς, θεοφιλὴς, αὐτοσφαγὴς, πολυδευκὴς· πολυδεύκης δὲ τὸ κύριον βαρύνεται. τὸ μέντοι φιλαλήθης, καὶ μισαλήθης, καὶ εὐήθης, καὶ κακοήθης, παρώνυμά εἰσιν, οὐ παρὰ ῥῆμα.

Τὰ εἰς ης κύρια ἀπὸ τῶν εἰς ος οὐδετέρων σύνθετα βαρύνεται, δημοσθένης, διογένης, καὶ τὰ ἔχοντα η ἐν τῇ παραληγούσῃ, ἀπὸ δισυλλάβου, συνήθης, κακοήθης. τὰ δὲ μὴ τοιαῦτα ἐπίθετα ὀξύνεται, εὐγενὴς, ἀγενὴς, εὐμενὴς, εὐτυχὴς.

Τὰ εἰς της, παρὰ τὸ ἔτος καὶ ἔργον, ὀξύνεται, διετὴς, τριετὴς, κλεπτουργὴς, ναξιουργὴς.

Τὰ εἰς ης ἀπὸ τῶν υς, ὀξυτόνων μὲν ὀξύνονται, βριθὺς ἐμβριθὴς, βαρὺς ἀβαρὴς, βαρυτόνων δὲ βαρύνονται, πῆχυς, τριπήχης, τετραπήχης.

---

39) Ἔτι τὰ διὰ τοῦ ωτης μὴ ῥηματικὰ, δεσμώτης, στρατιώτης.

Ἔτι τὰ διὰ τοῦ ιστης μὴ ὄντα ἐπιθετικὰ, ὁρίστης —.

Τὰ εἰς ης σύνθετα τὴν τῶν πρωτοτύπων τάξιν φυλάττει, ἐρανιστὴς, ἀρχερανιστὴς, δανειστὴς, μισοδανειστὴς, ληστὴς, ἀρχιληστὴς, ἀπελλῆς, φιλαπελλῆς. σεσημείωται ἀληθὴς, φιλαλήθης, ὑποκριτὴς, δικαιοκρίτης. τὸ δὲ ὑποκριτὴς οὐ παρὰ τὸ κριτὴς, ἀλλὰ τὸ ὑποκρίνομαι.

Τὰ εἰς της πολυσύλλαβα θηλυκὰ βαρύνονται, λογιότης, λευκότης, ποιότης. σεσημείωται ταχυτής [40]). τὸ μέντοι ποτὴς καὶ ἐσθὴς δισύλλαβα. τὸ δὲ νημερτὴς ἐπίθετον.

Περὶ τῶν εἰς ις ὀνομάτων.

Βιβλίον δ'.

Τὰ εἰς ὀνόματα συνεσταλμένον τὸ ι ἔχοντα ἀρσενικὰ καὶ θηλυκὰ καὶ κοινὰ βαρύνεται, ὄφις, ὄϊς, παΐς, μάντις.

Τὰ εἰς ις βαρύτονα καὶ ἐν τῇ συνθέσει βαρύνονται, μῆτις, πολύμητις, ἴδρις, ἄϊδρις, πόλις, φιλόπολις, χάρις, εὔχαρις.

Τὰ εἰς ις ὀξύτονα πῆ μὲν ἐν τῇ συνθέσει φυλάττουσι τὰ [41]) φυλάττοντα τὸ θηλυκὸν γένος, σκελὶς, περισκελὶς, νυχὶς, παννυχὶς, τὰ δὲ κοινωνοῦντα ἀρσενικῷ γένει μετατιθέασιν, ἐλπὶς, εὐέλπις, ἀσπὶς, λευκάσπις.

Τὰ εἰς ις πατρωνυμικὰ, ἢ τύπον ἔχοντα πα-

---

40) ταχυτὴς, βραδυτὴς, ἀδροτὴς· καὶ τὰ παρ' ἀθηναίοις ὀξύτονα, τραχυτὴς, κουφοτὴς· τὸ μέντοι —.

41) φυλάττουσι μὲν τὰ.

τρωνυμικοῦ, ὀξύνονται, πριαμὶς, ταντα̃λὶς, τυνδαρὶς, ἡ τοῦ Τυνδάρεω [42]).

Τὰ εἰς ις ὑποκοριστικὰ, ἔχοντα ἐν ἴσαις συλλαβαῖς τὴν παραγωγὴν, ὀξύνεται, θεραπαινὶς, ἑταιρὶς, λυρίς. τὸ δὲ ἴφις, ἀπὸ τοῦ ἴφι γινόμενον, βαρύνεται.

Τὰ εἰς ις ἐσχηματισμένα ἀπὸ βαρυτόνων μελλόντων ἢ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου βαρύνονται, ποιήσω, ποίησις, γνώσω, γνῶσις, πράξω, πρᾶξις, πέφανσαι, φάνσις, μείνσαι, μίανσις. τὸ δὲ ἀψὶς σεσημείωται, μακρὸν ἔχον τὸ ι.

Τὰ εἰς βις ὑπερδισύλλαβα ὀξύνεται ἢ παροξύνεται. ὀξύνεται τὰ παρώνυμα καὶ ἐπιθετικὰ, νιοβὶς, λυκανβὶς, περῤῥαιβίς. σεσημείωται τὸ καλλάβις. τὰ δὲ κύρια ἢ προσηγορικὰ βαρύνεται, ἀθαράβις, καννάβις. σημαίνει [43]) τὸ καλλαβίς.

Τὰ εἰς γις δισσύλλαβα ὀξύνεται, εἰ μὴ ἄρχοιντο ἀπὸ τοῦ γ, αἰγὶς, μαγὶς, σφαγίς. τὸ μέντοι γέργις βαρύνεται· ἀπὸ τοῦ γ γὰρ, ὥσπερ καὶ τὸ γέλγις, τέγγις [44]).

Ἔτι τὰ εἰς ις πολυσύλλαβα, στρατηγὶς, ἀλουργίς. τὸ δὲ ἄμοργις, ἡ ὑποστάθμη, βαρύνεται.

Τὰ εἰς θις δισύλλαβα, εἰ μὴ μετάληψιν ἔχοι εἰς ἀρσενικὸν γένος, ὀξύνεται, πληθὶς, ἀτθὶς, τε-

42) ἡ τοῦ Τυνδάρεω absunt.

43) σημείωσαι pro σημαίνει.

44) γέγγις pro τέγγις.

θις ἡ ἀδελφή. σεσημείωται τὸ αἴθις καὶ πρόθις καὶ πράθις.

Ἔτι τὰ εἰς θις ὑπερδισύλλαβα ὀξύνεται μὴ ὄντα ὀνόματα πόλεων αἰγυπτίων, ἀκανθὶς, πολοβινθίς. τὸ δὲ ταμίθις καὶ μενοῦθις καὶ τερενούθις βαρύνεται.

Τὰ εἰς νις δισύλλαβα ὀξύνεται, φοινὶς, κερκὶς, χαλκὶς [45]), πινακὶς, φαρμακὶς.

Τὰ εἰς λις ἁπλᾶ ἔχοντα σύμφωνον κατ' ἐπιπλοκὴν ἢ διπλασιασμὸν τοῦ λ ὀξύνεται, εἰ μὴ διὰ τοῦ θ πλίνοιτο, ἢ πόλιν σημαίνοι, φυλλὶς, πυγκλὶς, θυλλὶς ὁ θύλακος. τὸ δὲ τράλλις πόλις, καὶ τὸ δέλλις τὸ μικρὸν σφηκίον διὰ τοῦ θ, καὶ τὸ βάλλις δὲ βαρύνεται εἶδος ἄνθους, ὃ δοκεῖ ποιεῖν ἀναζῆν τὸν νεκρόν.

Τὰ εἰς λις βραχὺ δισύλλαβα, εἰ μὴ ἀπὸ τοῦ π ἄρχοιτο, μήτε ὑποκοριστικὰ εἴη, ὀξύνεται, βολὶς, φολὶς, σελὶς, ψαλὶς, πυλὶς, ὑποκοριστικόν. τὸ δὲ πρύλις βαρύνεται, ἢ ἐν ὅπλοις ὄρχησις, ὥσπερ καὶ ἡ πόλις ἀπὸ τοῦ π ἀρχομένη.

Τὰ εἰς λις δισύλλαβα ἀπὸ συμφώνου ἀρχόμενα, εἰ παραλήγοιτο φύσει μακρᾷ, χωρὶς α μακροῦ ὀξύνεται, μηλὶς ἡ μηλέα, δουλὶς, δαυλὶς. ἐναντιοῦται τὸ μάλυβδις ἢ μάχαιρα, καὶ τὸ τῆλις· τὸ δὲ τᾶλις ἢ μελλέγαμος τὸ α μακρὸν ἔχει. Ἔτι βαρύνεται καὶ τὸ βάλις καὶ μάμις καὶ μάλις [46]).

45) χαλκὶς· τὸ δὲ φῖκις βαρύνεται· ἔτι καὶ τὰ τρισύλλαβα, παλακὶς.

46) καὶ τὸ βάλις καὶ μάλις (sic) καὶ μᾶλις.

καὶ τὸ ἦλις καὶ ὗλις ἡ ὑλία, καὶ αὐλις ἡ ἔπαυλις, αὐλὶς δὲ ἡ πόλις ὀξύνεται.

Τὰ εἰς λις ὑπερδισύλλαβα εἰς α βραχὺ προπαραλήγοντα ἢ ὀξύνεται ἢ βαρύνεται. καὶ ὀξύνονται, ὅσα [47]) τυγχάνει ἐπιθετικώτερα, ἢ ἔχει τὴν πρώτην συλλαβὴν παταλήγουσαν εἰς ν, ἀφώνου ἐπιφερομένου, τανταλὶς, πανθαλὶς, ἡ θεράπαινα, ἐγκαλὶς· τὸ γὰρ γ ἐκ τοῦ ν· πενταλὶς. τὰ μέντοι προσηγορικὰ ἢ κύρια προπαροξύνονται, βούβαλις, δάμαλις, βαύκαλις.

Τὰ εἰς λις ὑπερδισύλλαβα παραληγόμενα ἢ βαρύνεται, κάπηλις, κύβηλις, ὁ πέλυξ, ἔπηλις, τὸ πτῶμα (in marg. manu poster. πῶμα) τῆς λάρνακος, τρόπηλις, ἡ δέσμη τῶν σκορόδων, πλὴν τοῦ φασηλὶς.

Τὰ εἰς δύο λλ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, εἰ μὴ ἐπιθετικὰ παρώνυμα εἴη γενόμενα ἀπὸ τῶν εἰς ης, κορυδαλλὶς, ἀναβαλλὶς, ἡ σφαῖρα, συκαλλὶς, μοιχαλλὶς, θρυαλλὶς. τὸ μέντοι κάβαλλις βαρύνεται.

Τὰ εἰς λις ὑπερδισύλλαβα, εἰ ἔχοι ἔν τι τῶν φύσει βραχέων τὸ ι βραχὺ, ὀξύνεται, κυψελὶς, βασιλὶς, αἰολὶς. τὸ μέντοι ἄζιλις, τὸ ζι μακρόν.

Τὰ εἰς λις παρώνυμα, τὸ ω ἢ διφθόγγῳ παραληγόμενα, ὀξύνεται, πακτωλὶς, αἰτωλὶς, ἰουλὶς. τὸ ἄγουλις προπαροξύνεται καὶ τὸ ἀρτόπωλις.

47) ὀξύνονται μὲν, ὅσα.

Τὰ εἰς μις προσηγορικὰ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, πυραμὶς, σησαμὶς, καλαμὶς, πλοκαμὶς, κεραμίς. τὸ δὲ ἄρτεμις, σεμίραμις, χρυσόθεμις, κύρια. καὶ τὸ σεμὶς κύριον ὂν ὀξύνεται.

Τὰ εἰς νις διβραχέα προσηγορικὰ ὀξύνονται, κατ' οὐσίας κείμενα, α ῆ ο παραληγόμενα, φανὶς, χλανὶς, θανὶς, ὀνὶς, κονὶς, τὸ ἐπὶ τῆς κεφαλῆς· κόνις δὲ, τὸ χῶμα. σπάνις καὶ φρόνις οὐκ ἐπὶ οὐσίας. τὸ δὲ ὕνις βαρύνεται τὸ υ ἔχον, ὥσπερ τὸ κρίνις.

Τὰ εἰς νις δισύλλαβα παραληγόμενα φωνήεντι μακρῷ ἢ ἐκτεινομένῳ βαρύνεται, μὴ ὑποκοριστικὰ ὄντα, ὀρθῶνις, μῆνις, νῆνις. τὸ μέντοι φωνὶς ὑποκοριστικόν ἐστι.

Τὰ εἰς νις θηλυκὰ διφθόγγῳ παραληγόμενα[48] ὀξύνεται, μαινὶς, δαυνὶς, ἐπιγουνὶς, θεραπαινὶς, λεαινίς. τὸ μέντοι εὖνις βαρύνεται, καὶ βούνις καὶ χλούνις.

Τὰ εἰς ανις θηλυκὰ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, ὠκεανὶς, τιτανὶς, στεφανίς. τὸ δὲ νεᾶνις προπαρισπᾶται, καὶ τὸ ἄδανις προπαροξύνεται, καὶ τὸ θήβανις.

Τὰ εἰς ενις καὶ ωνις ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, εὐμενὶς, εὐγενὶς, λυκαωνὶς, ἀμαξωνίς.

Τὰ εἰς ξις ἀπὸ μελλόντων ἐσχηματισμένα βαρύνεται, ἕξω, ἕξις, λέξω, λέξις, ψύξω, ψύξις. σεσημείωται ἄψις ὀξυνόμενον. τὰ μέντοι παρώνυ-

48) παραλήγοντα.

μα ὀξύνεται, ἅμαξα, ἁμαξὶς, πύξος, πυξὶς, ὄξος, ὀξίς.

Τὰ εἰς πις διβράχεα ἀπὸ συμφώνου ἀρχόμενα ὀξύνεται, πραπὶς, κοπὶς, λεπὶς. σεσημείωται τὸ βόπις [49]). τὸ δὲ ὄπις ἀπὸ φωνήεντος ἄρχεται.

Τὰ εἰς πις δισύλλαβα θέσει μακρᾷ παραληγόμενα, εἰ μὲν ἀπὸ συμφώνου ἄρχοιτο, βαρύνεται, μὴ ὄντα ὑποκοριστικά. εἰ δὲ ἀπὸ φωνήεντος, ὀξύνεται. βαρύνεται δὲ ταῦτα, τράμπις, σάλπις, πόλις, κάλπις, θέσπις, πόρπις. ὀξύνεται δὲ ταῦτα μὴ πληθυντικῶς λεγόμενα, ἐλπὶς, ἀσπὶς, ἐλπὶς (sic) [50]), ἐμπὶς, τὸ δὲ ἄλπις βαρύνεται.

Τὰ διὰ τοῦ οπις πολυσύλλαβα μὴ ἔννοιαν ἔχοντα συνθέσεως ὀξύνεται, κεκροπὶς, δρυοπὶς, αἰθιοπίς· τὸ φύλωπις δὲ προπαροξύνεται.

Τὰ εἰς ρις δισύλλαβα ὑποκοριστικὰ ἐννοίας ἐχόμενα ὀξύνεται, τευκρὶς, χειρίς.

Τὰ εἰς κρις κύρια μὲν ὄντα βαρύνεται, μάκρης, πρόκρις, ἄκρις· τὰ δὲ μὴ οὕτως, ὀξύνεται, ἀκρὶς, λοκρίς.

Τὰ εἰς ρις ἔχοντα πρὸ τοῦ ρ ἔν τι τῶν ψιλῶν ὀξύνεται, παλαιστρὶς, αὐλητρὶς, ἐπακτρίς.

Τὰ εἰς ρις μετ' ἐπιπλοκῆς μέσου ἢ δασέος ἢ τοῦ π βαρύνεται· εἰ δὲ μὴ οὕτως, ὀξύνεται, χωρὶς εἰ μὴ σύμφωνον εἴη δεδιπλασιασμένον, ὕβρις, κύ-

49) τρόπις pro βόπις.

50) ἐλπὶς abest.

πρις· ὀξύνεται δὲ τὸ νεβρὶς, κεδρὶς, τὸ δὲ ἄγρις δεδιπλασίασται.

Τὰ εἰς ρις ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῷ α βαρύνεται, πίθαρις, εὔμαρις, σέβαρις, πάπ-
5παρις, εἰ μὴ εἴη ὡς ὑποκοριστικὰ ἢ πατρωνυμικὰ, ἢ ἐν τῇ ποιότητι [51]) ε ἔχοντα, τότε γὰρ ὀξύνεται, μεγαρὶς, βλεφαρὶς, θεωρὶς, ἐαρὶς.

Τὰ εἰς ρις ὑπὲρ δύο συλλαβὰς θηλυκὰ ὀξύνεται, ἀστερὶς, νυκτερὶς, τὸ δὲ πάτερις καὶ κέλερις
10βαρύνεται.

Τὰ εἰς ρις ὑπὲρ δύο συλλαβὰς θηλυκὰ ὀξύνεται, ἀστερὶς, νυκτερὶς [52]).

Τὰ εἰς υρις μὴ κατὰ τροπὴν γενόμενα ὀξύνεται, ἀλμυρὶς, πορφυρὶς, ἀργυρὶς, ἰλλυρίς. τὸ δὲ
15θάμυρις προπαροξύνεται. τὸ δὲ ἄγυρις κατὰ τροπὴν ἐγένετο.

Τὰ εἰς ρις αἰγύπτια προπαροξύνεται, βουσιρις, ὄσιρις, ψένυρις.

Τὰ εἰς σις ἀπὸ μέλλοντος γινόμενα, ἢ ἀπὸ
20δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου, βαρύνονται, ποιήσω, ποίησις, λύσω, λύσις, κέκρισαι, κρίσις. τὰ μέντοι παρώνυμα χαίρουσι τῇ ὀξείᾳ, χρύσης, χρυσὶς, νῆσος, νησίς. σεσημείωται τὸ ἄσις ὁ ῥύπος, ἀπὸ τοῦ ἄσης γεγονός.

25 Τὰ εἰς τις δισύλλαβα ἔχοντα τὸ ο μικρὸν ἢ

---

51) τρίτῃ pro ποιότητι.

52) Τὰ εἰς ερις — νυκτερὶς absunt.

ω μέγα πρὸ τοῦ τις ἐπιθετικὰ, εἰ μὴ παράκειται ἀρσενικῷ τῷ εἰς της, ὀξύνεται, φορτὶς, φροντὶς, νοτὶς, οὐτὶς, δοτὶς, ὠτίς. τὸ δὲ πόρτις ἀπὸ τοῦ πόρις.

Τὰ εἰς τις πρὸ αὐτοῦ ψιλὸν ἔχοντα βαρύνεται, κλέπτις, ἵκτις ζῶον, λάκτις, ἢ τρυγών. τὰ δὲ ὀξύνεται, νοκτὶς, πηκτὶς.

Τὰ εἰς τις πρὸ τοῦ τις υ ἔχοντα, σπάνια ὄντα, τὰ μὲν βαρύνεται, σύρτις, τὰ δὲ ὀξύνεται, ῥυγὶς, κυρτίς.

Τὰ εἰς δύο ττ σπάνια ὄντα, τὰ μὲν βαρύνεται, οἷον παιτέττις, τὰ δὲ ὀξύνεται, τριττὶς, νεοττίς.

Τὰ εἰς στις δισύλλαβα βαρύνεται, εἰ μὴ ὑποκοριστικώτερα εἴη, πίστις, μνῆστις. τὸ μέντοι κιστὶς ὀξύνεται ὡς ὑποκοριστικόν.

Ἔτι τὰ εἰς στις ὑπὲρ δύο συλλαβὰς, εἰ μὴ ἐπίθετα εἴη, προπαροξύνεται, βούβρωστις, ἄγρωστις. ὀξύνεται τὸ κεραστὶς, λογιστὶς, λιβυστὶς, ὡς ἐπιθετικά.

Τὰ εἰς τις πολυσύλλαβα ν πρὸ τοῦ τ ἔχοντα μὴ παρακείμενα τοῖς εἰς της ὀξύνεται, προποντὶς, ἑλλησποντὶς, αὐθεντίς.

Τὰ εἰς ις θηλυκὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν γινόμενα πρὸ μιᾶς ἔχουσι τὸν τόνον, ὁ κυνηγέτης, ἡ κυνηγέτις, ὁ δεσπότης, ἡ δεσπότις, ὁ πολίτης, ἡ πολίτις, χωρὶς τῶν ἀπὸ τῆς κοίτης καὶ πωλῶ· ταῦτα γὰρ προπαροξύνονται, ἄκοιτις, παράκοιτις, ἀρτό-

πωλις, λαχανόπωλις. τὸ σκυθὶς δὲ δισυλλαβοῦν ὀξύνεται, ὡς τὸ περσίς.

Τὰ εἰς φις διβράχεα ὀξύνεται, ῥαφὶς, γλυφὶς, στραφίς. εἰ δὲ ἡ παραλήγουσα εἴη φύσει ἢ θέσει μακρὰ ἐν δισυλλάβοις, παροξύνεται, μέμφις. τὸ δὲ κηφὶς ὡς ἐθνικὸν ὀξύνεται, ὡς καὶ δελφίς.

Τὰ εἰς φις ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, εἰ μὴ κύρια εἴη, ἀσταφὶς, κροταφὶς, ἐλαφίς. τὸ δὲ ἱερόσφις ὡς κύριον παροξύνεται.

Τὰ εἰς χις ὀξύνεται, εἰ μὴ ὀνόματα πόλεων ἢ νήσων εἴη, κολχὶς, ἀντιοχὶς, παννυχίς. τὸ δὲ ῥᾶχις σεσημείωται. τὸ μέντοι ἀτάρβηχις, ὕδελφις ἐπὶ πόλεων καὶ νήσων.

Τὰ εἰς ις θηλυκὰ ἐπὶ τέλους ἔχοντα τὸν τόνον καὶ εἰς α ποιοῦντα τὴν αἰτιατικὴν ὀξύνονται, ἀσπὶς, ῥανὶς, κρηπὶς, κνημὶς, ἀψίς.

Εἰ δὲ εἰς ιν ἔχουσι τὴν αἰτιατικὴν, περισπῶνται, βεκδῖς, μολῖς, τοτῖς, ἀτεργατῖς.

Περὶ τοῦ τόνου τῶν εἰς ος ὀνομάτων.

Βιβλίον ε.

Τὰ εἰς ος καθαρὰ δισύλλαβα τῷ α μακρὸν παραληγόμενα ὀλίγα εἰσὶ, καὶ ὀξύνεται μέν, ὅσα οὐ κύρια μὴ δὲ ἐπιθετικὰ, παὸς καὶ πηὸς, ναὸς καὶ νηὸς, λαὸς καὶ ληός. τὸ δάος ὡς κύριον βαρύνεται, καὶ τὸ πρᾶος δὲ ἐπίθετον. τὸ μέντοι

ταὸς [53]) παρ' ἀλεξανδρεῦσιν ἀντὶ τοῦ μῶν [54]) σεσημείωται. τὸ δὲ λάος παρὰ Σοφοκλεῖ ἀπὸ γενικῆς εἰς εὐθεῖαν μετεποιήθη.

Τὰ εἰς αιος δισύλλαβα, εἰ μὴ εἴη κύρια, ὀξύνεται, λαιὸς, σκαιὸς τὸ ἐπίθετον. σκαῖος δὲ τὸ κύριον, ὡς μαῖος, γραῖος, παῖος.

Τὰ διὰ τοῦ ανος δισύλλαβα ὀξύνεται, ναῦος, αὖος ὁ ξηρός. τὸ δὲ ἀγαυὸς τρισύλλαβον.

Τὰ εἰς οιος δισύλλαβα ὀξύνεται, εἰ μὴ εἴη κύρια καὶ πυσματικὰ, καὶ τὸ ο πλεονάζει ἐν τῇ ἀρχῇ, σμοιὸς ἐπίθετον, σκλοιὸς ὁ σκολιὸς, δοιὸς, γλοιὸς ἐπὶ κόπρου, βοιὸς, κλοιός. τὸ ποῖος, τοῖος, οἷος ὁ μάνος βαρύνεται, ὡς πυσματικά. καὶ τὰ κύρια δὲ ὁμοίως, μοῖος, βοῖος, κοῖος. οἱὰς δὲ ὁ δῆμος τῆς ἀττικῆς ὀξύνεται.

Τὰ εἰς ειος δισύλλαβα ἐπιθετικὰ βαρύνεται, λεῖος, μεῖος, κεῖος, θεῖος, πλεῖος. τὸ δὲ νειὸς ἀρσενικὸν καὶ μονογενές.

Τὰ εἰς ος καθαρὸν δισύλλαβα παραληγόμενα τῷ ι μακρὸν ἀρχόμενα ἀπὸ τοῦ ἑνὸς συμφώνου [55]) βαρύνεται, πῖος, χῖος, δῖος, θρῖος, φθῖος. τὸ κριὸς σεσημείωται.

Τὰ εἰς ιος τὸ δίχρονον ἔχοντα βαρύνεται, σάος, ἴος, τίος, ἶος ὁ μόνος, βίος ἡ ζωή. βιὸς δὲ τὸ τόξον. τὸ δὲ νυὸς ἡ νύμφη ὀξύνεται.

53) ταὼς.

54) μῶς.

55) ἐνὸς δύο συμφώνων.

Τὰ διὰ τοῦ οος καὶ εος δισύλλαβα ἀπὸ συμφώνου ἀρχόμενα καὶ μὴ μόνου τοῦ θ βαρύνεται, νόος, γόος, ῥόος, πλόος, θρόος, νέος. τὸ δὲ ἐὸς[56] ὀξύνεται· ἀπὸ φωνήεντος γάρ· καὶ τὸ θεὸς, ὡς ἀπὸ τοῦ θ μόνου.

Τὰ εἰς ωος μετὰ προσγεγραμμένου ι δισύλλαβα βαρύνεται ἢ προπερισπᾶται, κῷος, σῷος, λῷος. τὸ δὲ κλῳὸς ἀπὸ τοῦ κλοιὸς ὀξύνεται, καὶ ἔτι τὸ ζῳός.

Τὰ εἰς ηος σπάνια ὄντα ὀξύνεται, οἷον ἠός.

Τὰ εἰς ος τρισύλλαβα ἁπλᾶ τῷ α μόνῳ παραληγόμενα ὀξύνεται, εἰ μὴ ἡ τρίτη ἀπὸ τέλους φύσει ἢ θέσει μακρὰ εἴη, ἢ κατὰ διάστασιν σύμφωνον ἔχοι, ἀγλαὸς, ἁλαὸς, δαναός. τὸ δὲ γόαος ἐκ τοῦ γόης γέγονε.

Τὰ εἰς λεος τρισύλλαβα ἁπλᾶ ὀξύνεται, μὴ ὄντα κτητικὰ, ἢ διάφορον τόνον σημαίνοντα, εἰλεὸς[57]· ἡ κατάδυσις, φωλεὸς, κολεὸς, μαλεός. ἑλεὰς τὸ κύριον, ἑλέος δὲ τὸ προσηγορικόν. τὸ δὲ τέολεος καὶ τέλειος κτητικά.

Τὰ διὰ τοῦ εος παροξύνεται ἢ κτητικὰ εἴη, ῥητέος, πρακτέος, ἀθροιστέος. τὸ δ' ἑτεὸς ὀξύνεται.

Τὰ διὰ τοῦ αλεος παράγωγα ὑπὲρ τρεῖς συλλαβάς ἐστι καὶ προπαροξύνεται, χωρὶς εἰ μὴ ἔνδειαν ἔχῃ ι τοῦ ἀπὸ κτητικοῦ ὀνόματος, οἷον νη-

56) ἐὸς.

57) ἰλεὸς.

φάλεος, αὔλεος, σμερδαλέος, θαρσαλέος. πρόσκειται εἰ μὴ ἔχῃ ἔνδειαν τοῦ ῑ ἀπὸ κτητικοῦ ὀνόματος, διὰ τὸ δεδάλειος, δαιδαλέος, κονισάλειος, κονισαλέος. ὅσα δὲ παροξύτονα ἀπὸ τῶν κτητικῶν ἐγένετο, κατ' ἔνδειαν τοῦ ῑ, καὶ προπαροξύνονται, ἀγαμεμνόν-ος, ἐκτόρεος, νεστόρειος, τέλεος, χάλκεος, χρύσεος.

Τὰ εἰς ος̄ ὑπὲρ δύο συλλαβὰς τῷ η̄ παραληγόμενα τὸ αἰζηὸς ἐστὶν ὀξυνόμενον. (sic) τὸ γὰρ πάλης καὶ ἄρχης κατὰ τροπὴν τῆς αῑ διφθόγγου ἐγένετο καὶ προπαροξύνεται. τὸ δὲ ὄρης καὶ αὐτὸ παροξύνεται κατὰ τροπὴν τῆς αῑ διφθόγγου γεγονός. τὸ δὲ ἐχένης καὶ πολύνης παροξύνεται, σύνθετα γάρ.

Τὰ διὰ τοῦ διος̄ προπαροξύνεται, εἰ μὴ τρισύλλαβα ὄντα τριβραχέα εὑρεθῶσι, καὶ προπαροξύνονται πρὸς διαστολὴν κυρίων καὶ ἐπιθέτων, ὥσπερ ἔχει τὸ ῥόδιος καὶ [58]) σχέδιος. τὰ δὲ προπαροξύτονα ταῦτα, ἴδιος, ἄϊδιος, μεμψίδιος, παυρίδιος, ἁρμόδιος, νυμφίδιος. σεσημείωται τὸ εὐωδιὸς ὀξυνόμενον.

Τὰ διὰ τοῦ ιονιος̄ [59]) προπαροξύνεται, μαθαιρώνιος, μαραθώνιος, ἀπολλώνιος.

Τὰ εἰς νιος̄ καθόλου ὑπὲρ τρεῖς συλλαβὰς προπαραξύνεται, μιθαιρώνιος, μαραθώνιος, (sic) [60])

58) ῥόδιος κύριον καὶ.

59) ωνιος.

60) μιθαιρώνιος, μαραθώνιος abiunt.

ἐλευσένιος [61]), σαλαμίνιος. τὸ δὲ κλονίος προπαροξύνεται [62]) τρισύλλαβον ὄν. καὶ τὸ μονιὸς ὀξύνεται ὡς κύριον καὶ τρισύλλαβον. εἰ δὲ τὸ ῡ πλεονάσῃ, προπαροξύνεται· μούνιος γάρ.

Ὅσα ἀπὸ τοῦ ξ̄ ἢ ρ̄ γίνεται διὰ τοῦ ῑ βραχέος, προπαροξύνεται, εἰ μὴ διαστολὴ κυρίου γένοιτο, ἐν τρισυλλάβοις καὶ τρισιβραχέσιν, ὥςπερ τὸ φρυγίος, φλεγίος. καὶ προπαροξύνεται δὲ ταῦτα, θρηϊκιος, κιλίκιος, φαιάκιος, μακάριος, σωτήριος. τὸ δὲ ἰλλυριὸς οὐκ ἀντίκειται.

Τὰ διὰ τοῦ ιος ἐθνικὰ ἢ τοπικὰ προπαροξύνονται, θαλάσσιος, ἐντόπιος, ἐνδάπιος. τὸ δὲ χλωριὸς καὶ θαλαμιὸς ὁ κωπηλάτης.

Τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος προπαροξύνεται συνεσταλμένου τοῦ ῑ, εἰ μὴ τριβραχέα ἐπὶ κυρίων εἴη, πολέμιος, ποτάμιος, μίσθιος, ῥύθμιος, δέσμιος, φρύγιος, κύριος [63]), παροξύνεται.

Τὰ διὰ τοῦ σιος καὶ τιος προπαροξύνονται, εἰ μὴ κύρια εἴη καὶ τριβράχεα, ἀσπάσιος, πρυμνήσιος, ταλάντιος, θαλάττιος. τὸ δὲ πλησίος καὶ ἀντίος, σκοτίος, κλυτίος, τριβράχεα, καὶ τὸ φρασίος.

Τὰ διὰ τοῦ ιος καθαρὸν πρὸ τοῦ ῑ η̄ ἢ ω̄ ἔχοντα προπαροξύνονται, ὑήϊος [64]), δῄϊος, γῄϊος, λῴϊος, πατρῴϊος. τὸ ἀσκληπιὸς ὀξύνεται.

---

61) ἐλευσίνιος.

62) παροξύνεται.

63) φρύγιος δὲ τὸ κύριος.

64) νῄϊος pro ὑῄϊος.

Τὰ εἰς λιος ὑπερτρισύλλαβα παροξύνεται, εἰ μὴ ὀρνέου κατηγοροίη, ἐνάλιος, δασάλιος, ὁ διόνυσος, θεμέλιος. τὸ μέντοι λαλιὸς, πελιὸς ὁ πολιὸς, σκολιός. φάλιος ὁ λευκομέτωπος ὡς τρισύλλαβον ὀξύνεται. τὸ δὲ ἐγολιὸς, ἐρωδιὸς, ἐδωλιὸς, βαμβυλιὸς, ὡς ἐπὶ ὀρνέων κατηγορούμενα ὀξύνεται.

Ὅσα εἰσὶ μονογενῆ ἀπὸ ἐνεστώτων γινόμενα εἰς ιος, μὴ ἔχοντα ἐν τῇ τρίτῃ δύο σύμφωνα κατὰ διάστασιν, προπαροξύνεται. αἰτῶ αἴτιος σεσημείωται.

Ἔτι καὶ τὰ ἀπὸ μέλλοντος γινόμενα, ὀρθώσομαι, ὀρθώσιος, ἀσπάσομαι, ἀσπάσιος, φυλάξομαι, φυλάξιος. τὸ μέντοι πλήσω πλησίος, καὶ τὸ δέξομαι δεξιὸς, καὶ ἔψομαι ἑψιός.

Τὰ διὰ τοῦ ιος τρισύλλαβα, εἰ ἔχοιεν υ ἐν τῇ πρώτῃ συλλαβῇ, προπαροξύνεται, εἰ μή τις διαστολὴ εἴη, ἢ κύριον ὑπάρχοι τρίβραχυ, κύριος, κύπριος, τύριος, μύλιος, πύλιος, φρύγιος. τὸ τυχίος, φρυγίος, πλυτίος, κλυτίος, σκυφίος, παροξύνονται ὡς κύρια. μύριος ὁ ὡρισμένος ἀριθμὸς, μυριος ὁ ἀόριστος, καὶ νύμφιος οἶκος προπαροξύτονον, νυμφίος δὲ ὁ γαμετὴς παροξύτονον.

Ὅσα ἀπὸ ἐπιῤῥημάτων παρῆκται διὰ τοῦ ιος, προπαροξύνεται, πρωῖ πρώϊος, ὀψὲ ὄψιος, νόσφιν νόσφιος, ἴφι ἴφιος, ἀεὶ ἀΐδιος, ῥέα ῥηίδιος. σεσημείωται ἄντιν ἀντίος, σχεδὸν σχεδίος, ὡς κύριον.

Τὰ διὰ τοῦ ιος τρισύλλαβα κύρια, ἔχοντα τὴν τρίτην μακρὰν, προπαροξύνεται, μούλιος, βάκχιος, σέργιος. τὸ δὲ ἐρχίος παροξύνεται.

Τὰ εἰς ιος ὑπερτρισύλλαβα ἐπὶ ἀλόγων ζώων ὀξύνεται, αἰγυπιὸς, χαραδριὸς, ἐρωδιός. τὸ δὲ σκορπίος, κυβίος, παροξύνεται ὡς τρισύλλαβα.

Ἐξαιρέτως τὰ εἰς ος καθαρὸν ὑπὲρ δύο συλλαβὰς, τῷ ο μόνῳ παραλήγοντα, προπαροξύνονται. τὰ δὲ πολλὰ σύνθετα παροξύτονά τε καὶ προπαροξύτονα. καὶ παροξύτονα μὲν θυρσκόος, λαοσσόος, βροτοσσόος· προπαρυξύτονα δὲ τρόχοος, δυσήκοος. νῦν δὲ περὶ τῶν ἁπλῶν διαληψόμεθα.

Τὰ ὥσπερ ἔντελῆ τῶν εἰς πλους ληγόντων ἁπλᾶ ὄντα παροξύνονται, διπλόος, τριπλόος, ἁπλόος. τὸ δὲ πρωτόπλοος καὶ ἀλίπλοος προπαροξύνεται, ὅτε μὴ ἁπλᾶ. τὸ δὲ ἀθρόως παροξύτονον τὸ ἅμα σημαίνει· τὸ δὲ ὀξύτονον τὸ ἄφωνον.

Τὰ διὰ τοῦ οος κύρια προπαροξύνεται, σίστοος, πίροος, ἄθοος ὁ καὶ ἀθῶος. τὸ δὲ ὄγδοος, εἰ καὶ ἐπίθετον, προπαροξύνεται· ἐπειδὴ τὰ εἰς ος τακτικὰ βαρύνεται, ὑπεσταλμένων τῶν εἰς στος, ἕβδομος, ὄγδοος, ἔννατος, δέκατος. τὸ δὲ εἰκοστὸς, τριακοστὸς, καὶ τἄλλα ὀξύνεται. καὶ τὸ ὁλοὸς ὀξύνεται ἀπὸ τοῦ ὁλῶ.

Τὰ εἰς ος καθαρὸν ὑπὲρ δύο συλλαβὰς, τῇ φ διφθόγγῳ καταχρηστικῇ παραληγόμενα, προπερισπᾶται, πατρῷος, ἠρῷος, ἀχελῷος, αἰδῷος. τὸ δὲ κολῳὸς ὀξύνεται ἀπὸ τοῦ κολοιός. τὸ μέντοι λαγωὸς καὶ πατρωὸς ὀξύνονται, διότι οὐκ ἔχουσι τὸ ι προσγεγραμμένον.

Πᾶν εἰς ος καθαρὸν ὑπὲρ δύο συλλαβὰς τῇ αι διφθόγγῳ παραληγόμενον, εἰ μὲν ὀξυτονουμέ-

νου θηλυκοῦ γένοιτο, προπερισπᾶται, ἀρχὴ ἀρχαῖος, ἀλκὴ ἀλκαῖος, κορυφὴ κορυφαῖος. τὸ μέντοι ἐπιπόλαιος οὐκ ἀπὸ τοῦ ἐπιπολῆς παρῆκται, ἀλλὰ παρὰ τὸ ἐπιπολάζω· πλὴν οἱ πλείους αὐτὸ περισπῶσιν.

Τὰ εἰς μαιος προπερισπᾶται, εἰ μὴ διαστολὴ γένοιτο ἢ κύριον εἴη σύνθετον, πυγμαῖος, ῥωμαῖος, πτολεμαῖος, ἑρμαῖος. τὸ δὲ ἕρμαιος κύριον προπαροξύνεται, καὶ τὸ φιλορώμαιος σύνθετον ὄν. τὸ δὲ τίμαιος σεσημείωται.

Τὰ διὰ τοῦ αιός ὑπερτρισύλλαβα περισπᾶται, εἰ μὴ διαστολή τις εἴη, ἢ σύνθετον ὑπάρχοι, ἀθηναῖος, εἰρηναῖος, ἀρουραῖος. τὸ ἐρυσίχαιος προπαροξύνεται. τὸ δὲ ἀθήναιος κύριον προπαροξύνεται εἰς διαστολήν.

Ἔτι τὰ διὰ τοῦ δαιος περισπᾶται, ἰουδαῖος, χυδαῖος, χαλδαῖος.

Ἔτι τὰ διὰ τοῦ αιος ἐθνικὰ, ἀθηναῖος, θηβαῖος, ῥωμαῖος. σεσημείωται τὸ ἀχαιὸς ὀξυνόμενον, καὶ τὸ ἐρυσίχαιος προπαροξυνόμενον.

Ἔτι τὰ τρισύλλαβα ἀπὸ ᾱ ψιλουμένου ἀρχόμενα, ἀλκαῖος, ἀλκμαῖος.

Ἔτι τὰ διὰ τοῦ λαιος, ὑλαῖος, βουλαῖος, θηλαῖος. τὸ δὲ δείλαιος καὶ φύλαιος προπαροξύνεται.

Ἔτι σημειοῦνται τὰ ἐν ἀρχῇ πρόθεσιν ἔχοντα, ἐπιπόλαιος, ἢ ἀπὸ ἐπιῤῥήματος, ὥςπερ τὸ παλαιὸς ἀπὸ τοῦ πάλαι, καὶ τὰ κατὰ διαστολὴν γινόμενα. παλαῖος τὸ κύριον, παλαιὸς δὲ τὸ ἐπίθετον.

Τὰ ἀπὸ ἐπιῤῥημάτων προπεριισπῶνται, χύδην χυδαῖος, ἄντην ἀνταῖος. τὸ μέντοι μάτην μάταιος, καὶ τὸ βέβαιος παρὰ τὸ βέβηκα. τὰ δὲ παρώνυμα παρ' οὐδετέρων γινόμενα ὀξύνεται, γῆρας γηραιὸς, κράτος κραταιὸς, ῥέα ἀραιός.

Τὰ εἰς εἰος καθαρὸν τρισύλλαβα ἔχοντα ἐν τῇ τρίτῃ η, προπαροξύνεται, θήρειος, μήλειος, χήνειος, κήλειος, ὁ καυστικός. τὸ μέντοι ἠλεῖος, ἠθεῖος, προπερισπᾶται, οὐκ ἀπὸ συμφώνου ἀρχόμενα. τὸ δὲ κτητειὸς, πληνειὸς, ὀξύνεται ὡς κύριον· καὶ τὸ μήδειος κύριον προπαροξύνεται.

Τὰ εἰς εἰος ἐπιθετικὰ τρισύλλαβα, ἔχοντα τὴν πρώτην φύσει ἢ θέσει μακράν, πλὴν τῶν ἐχόντων τὸ η, περὶ ὧν εἴρηται, καὶ τῶν ἐχόντων ἔννοιαν τοπικὴν, προπαροξύνονται, γλαύκειος, δούλειος, χρύσειος, δούρειος, χοίρειος. τὸ μέντοι ὀλμειὸς, ὀρνειὸς, σπερχειὸς, σπονδειὸς, δαρειὸς, ὡς κύρια, ὀξύνεται. τὸ δὲ παιδεῖος ὁ παιδικὸς προπερισπᾶται.

Τὰ εἰς εἰος τρισύλλαβα κύρια, καὶ τὰ πλείω ὀνόματα ποταμῶν ὀξύνεται, σπερχειὸς, ἀλφειὸς, πηνειὸς, κητειὸς, ἐπειός. τὸ δὲ ἀρνεῖος καὶ δαρεῖος προπερισπῶνται. προπαροξύνεται δὲ ταῦτα, ἱττέρειος, ἀσκάτειος. τὸ δὲ δαρδανειὸς ὀξύνεται.

Τὰ εἰς εἰος τριγενῆ μὴ ἐθνικὰ προπαροξύνεται, εἰ ἀπὸ βραχείας ἄρχοιτο, βρότειος, τέλειος, φλόγειος, λύκειος, βόειος. τὸ δὲ ἐπειὸς κύριον. τὸ δὲ φατειὸς κατὰ πλεονασμὸν ἔσχε τὴν δίφθογγον.

Τὰ εἰς εις ὑπερτρισύλλαβα, μὴ πλεοναζούσης τῆς ει διφθόγγου, προπαροξύνεται, αἰάντειος, ὁμήρειος, γαλήνειος, ἱππάρχειος. τὸ δὲ ἀδελφειὸς ἀπὸ τοῦ ἀδελφὸς πλεονάζει τὸ ει. τὰ μέντοι προπεριισπώμενα ἀπὸ τῶν ὁμήρου λέξεων εὑρεθέντα ταῦτά εἰσι, πρυτανεῖος, ἑταιρεῖος, μεταλεῖος, γυναικεῖος, ἀκατεῖος.

Τὰ εἰς οιος ὑπερδισύλλαβα προπερισπῶνται, εἰ ἐπιθετικὰ εἴη ἢ κύρια, ὁμοφωνοῦντα τοῖς ἐπιθέτοις, ἀλλοῖος, αἰδοῖος, ὁμοῖος, γελοῖος, πανοῖος. τὸ δὲ φλοιὸς δισύλλαβον, καὶ τὸ κλοιὸς προσηγορικόν.

Τὰ εἰς ος καθαρὸν ἔχοντα δίφθογγον τὴν διὰ τοῦ υ ὀξύνεται, ἐπιθετικὰ ὄντα, οὐκ ἐθνικὰ, ἀκουὸς καὶ ἐπακουὸς, ἀγαυὸς καὶ τὸ κύριον καὶ τὸ ἐπίθετον. πρόσκειται, εἰ μὴ ἐθνικὰ εἴη, ἀλλὰ κύρια, ὅτι ταῦτα βαρύνεται, ἀκάλαυνος, πείθραυσος, ἄραυος.

Περὶ τῶν εἰς βος, εἰς γος, καὶ τῶν καθεξῆς μέχρι τῶν εἰς μος.

Βιβλίον ς΄.

Τὰ εἰς βος δισύλλαβα κύρια ἢ προσηγορικὰ βαρύνεται, ὄλβος, λίβος, λέσβος, φλοῖσβος, θάμβος, τὸ μονογενὲς τάρβος. σεσημείωται τὸ ὀλβὸς

κύριον παροξυνόμενον, ὥσπερ λοβὸς, ὅπερ μέρος τοῦ ἥπατος ἐστίν. [65])

Τὰ εἰς βος δισύλλαβα ἐπιθετικὰ ὀξύνεται, στραβὸς, ῥαιβὸς, ὁ μὴ ὀρθὸς, καὶ κωβός.

Τὰ εἰς βος κύρια ἢ προσηγορικὰ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, ἄραβος, κόραβος, ἴαμβος, κάραβος, σάραβος, ἀττέλαβος, ὅπερ οἱ ἀττικοὶ παραλόγως ὀξύνουσι.

Τὰ εἰς βος ἐπιθετικὰ ὑπὲρ δύο συλλαβὰς, εἰ μὴ τὸ η παραλήγοι ἢ σύνθετα εἴη ἀπὸ τῶν εἰς βος ληγόντων, ὀξύνεται, ἐρεμβὸς, κολοβὸς, βουφορβὸς, ἱπποφορβός. τὸ δὲ ἔφηβος, ἄηβος παραλήγουσι τῷ η. τὸ δὲ φιλόκοιβος σύνθετον.

Τὰ εἰς γος δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον λήγουσαν, προσηγορικὰ ὄντα ἢ κύρια, βαρύνεται, πύργος, σπόγγος, φόγγος, γόργος τὸ κύριον, γοργὸς δὲ τὸ ἐπίθετον. τὸ δὲ σαγρὸς ὁ ἰχθὺς ὀξύνεται.

Τὰ εἰς γος ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον λήγουσαν, ἐπιθετικὰ ὄντα, εἰ μὴ ἔννοιά τις ὑπάρχοι συνθέσεως, ὀξύνεται, γοργὸς, ἀργός. τὸ μέντοι σάγγος [66]) βαρύνεται, καὶ τὸ μάργος σύνθετον ἀπὸ τοῦ μα στερητικοῦ καὶ τοῦ ἔργον· ὁ γάρ τοι μάργος [67]) οὐδὲν ἀγαθὸν ἐργάζεται.

---

65) σεσημείωται τὸ ὅλβος παροξυνόμενον, ὅτε προσηγορικόν. ὄλβος δὲ τὸ κύριον, ὥσπερ λοβὸς μέρος τοῦ ἥπατος.

66) γάγγος pro σάγγος.

67) ὁ γὰρ μάργος.

Τὰ εἰς ογος διβράχεα βαρύνεται, λόγος, μόγος, ψόγος.

Τὰ διὰ τοῦ αγος διβράχεα ἐπιθετικὰ, καὶ μὴ ἐθνικὰ, βαρύνεται, φαγὸς, κραγός. τὸ δὲ κράγος ὁ κραυγαστικὸς βαρύνεται; καὶ τὸ μάγος ἐθνικόν.

Τὰ εἰς γος δισύλλαβα φύσει μακρᾷ παραληγόμενα ὀξύνεται, εἰ μὴ κύρια εἴη, λοιγὸς, φηγός. τὸ δὲ λάγος κύριον.

Τὰ εἰς γος ὑπερδισύλλαβα βραχείᾳ παραληγόμενα προπαροξύνεται, πάταγος, ἔλεγος, ὁ θρῆνος.

Τὰ εἰς γος τρισύλλαβα ἀρσενικὰ φύσει ἢ θέσει μακρᾷ παραληγόμενα, μὴ διπλασιαζομένου τοῦ σ, ὀξύνεται, χωρὶς εἰ μὴ κύρια εἴη καὶ ἔννοιαν συνθέσεως ἔχοι, ἀργὸς, πελαργὸς, ἀμολγὸς, βροτολοιγός. τὸ δὲ ἄμολγος προπαροξύτονον ἐπὶ τῆς νήσου, οὐκ ἀρσενικόν. καὶ τὸ ὅμαργος σύνθετον, ἀπὸ τοῦ ὁμοῦ καὶ τοῦ ἀργος· ἔστι δὲ ὄνομα κυνός.

Τὰ εἰς δος διβράχεα ἀρσενικὰ καὶ θηλυκὰ βαρύνονται· εἰ δέ τι ὀξυνθῇ, τοῦτο θηλυκὸν προσηγορικὸν εὑρέθη τῷ ο παραλῆγον· λάδος, ἄδος, κάδος. τὸ μέντοι ὁδὸς καὶ σποδὸς ὀξύνεται ὡς θηλυκά.

Ἔτι τὰ εἰς δος δισύλλαβα ὀξύνεται, ὁδὸς, ὑποδὸς, οὐδός. τὸ δὲ φροῦδος ἀπὸ τοῦ πρόοδος σύνθετον, καὶ τὸ μῆδος ἐθνικόν. σεσημείωται τὸ κοῖδος παρὰ Μακεδόσιν ὁ οἰκονόμος, καὶ τὸ χλῖδος προπερισπώμενα.

Τὰ εἰς δος ἀρσενικὰ, φύσει μακρᾷ παραληγόμενα, βαρύνεται, μῆδος, νῖδος, ζεῦγος. τὸ μέντοι καυδὸς θηλυκὸν, ὥσπερ καὶ τὸ μαυδός.

Τὰ εἰς δος δισύλλαβα ἔχοντα πρὸ τοῦ δ σύμφωνον βαρύνεται, ὄγδοος, ῥάβδος, ἄσδος, στήλη λιθίνη.

Τὰ εἰς δος δισύλλαβα ἔχοντα πρὸ τοῦ δ σύμφωνον κατὰ διάστασιν βαρύνεται, εἰ μὴ ἐθνικὰ εἴη, λίνδος, σίνδος, πίνδος, νάρδος, μάρδος, αὐλολοῦ εἶδος. σεσημείωται τὸ ἰνδὸς ποταμὸς καὶ τὸ ἐθνικόν. τὸ δὲ κονδὸς ἐπίθετον, καὶ ὁ μυνδὸς ὁ ἄφωνος.[68])

Τὰ εἰς δος ὑπερδισύλλαβα ἔχοντα κατ' ἐπιπλοκὴν συμφώνου κύρια ἢ προσηγορικὰ βαρύνεται, μόλυβδος, σμάραγδος. τὸ δὲ ὀρυγμαδὸς ὀξύνεται.

Τὰ εἰς δος ὑπερδισύλλαβα φύσει μακρᾷ παραληγόμενα κύρια προπαροξύνεται, ἄοιδος, ἔνοιδος, εἴηδος. τὸ μέντοι ἀοιδὸς ἐπίθετον. τὸ δὲ κίναιδος προπαροξύνεται τῷ λόγῳ τῆς συνθέσεως.

Τὰ εἰς ζος πάντα βαρύνεται, ἴζος, ῥοῖζος, ταῦζος, τοῶζος. τὰ δὲ τριγενῆ καὶ τὰ ἀπὸ ἐπιῤῥημάτων ὀξύνεται, πεζὸς, χθιζὸς, πρωϊζός.

Τὰ εἰς θος μονογενῆ δισύλλαβα φύσει μακρᾷ παραλήγοντα μὴ κοινὰ κατὰ γένος βαρύνεται, μῦ-

68) Post ἄμφωνος haec sequuntur: *Τὰ εἰς δος ὑπερδισύλλαβα βραχείᾳ παραληγόμενα προπαροξύνεται, ὅμαδος, πίλαδος, τένεδος, πόρνδος, ὅπερ οἱ ἀττικοὶ ὀξύνουσιν.*

Τὰ εἰς δος ὑπερδισύλλαβα ἔχοντα π. τ. λ.

θος, κῦθος, ζῆθος, ξοῦθος, τὸ κύριον. τὸ δὲ στρουθὸς κοινὸν τῷ γένει.

Τὰ εἰς θος δισύλλαβα μονογενῆ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν βαρύνεται, πτόρθος, γόνθος, ὁ κόγχος, γρόνθος, τὸ ἐπὶ τῆς αὐλήσεως, σμίνθος ὁ μῦς. τὸ δὲ ξανθὸς καὶ τυτθὸς τριγενῆ.

Τὰ εἰς θος διβράχεα ὀξύνεται, εἰ μὴ τόπον δηλοῖεν, νόθος, πόθος, ψόθος, ὁ ψόφος, μόθος. τὸ μέντοι βυθὸς τοπικόν.

Τὰ εἰς θος δισύλλαβα τριγενῆ παραληγόμενα φύσει μακρᾷ ἢ θέσει, μὴ προηγουμένου τοῦ σ, ὀξύνεται, ἀφθὸς, τυτθὸς, ξανθὸς, αἰθὸς, ὁ διάπυρος. τὸ δὲ λοίσθος ἔχει τὸ σ. σεσημείωται τὸ πάρθος, καὶ τὸ ὄνθος.

Τὰ εἰς αθος μονογενῆ τρισύλλαβα ἀπὸ βραχείας ἀρχόμενα προπαροξύνεται, ψάμαθος, κύαθος, κάλαθος, καὶ λέκυθος. τὸ μέντοι ἀγαθὸς τριγενές. τὸ δὲ ὁρμαθὸς καὶ γυργαθὸς ὀξύνεται ἀπὸ μακρᾶς ἀρχόμενα.

Τὰ εἰς θος ὑπὲρ δύο συλλαβὰς παραλήγοντα ι ἢ υ ἢ καὶ φύσει μακρᾷ, προπαροξύνεται, εἰ δέ τι καὶ ὀξύνεται, ἐπιθετικόν ἐστι, λάπιθος, λέκυθος, ἔριθος, μύκυθος, ἄκυθος, ἢ μὴ τίκτουσα. τὸ δὲ βοηθὸς καὶ παιηθὸς, ὁ πάκιστος, ὀξύνεται.

Τὰ εἰς θος ὑπερδισύλλαβα ἔχοντα κατὰ τὴν παραλήγουσαν δύο σύμφωνα μὴ ὄντα ἐπιθετικὰ προπαροξύνονται, ἐρύμανθος, λαβύρινθος, μέ-

λανθος, ὄλυνθος, τὸ μὴ πέπειρον. τὸ δὲ ὀλισθὸς, ὁ ὀλισθηρὸς, ὀξύνεται, ἐπίθετον ὄν.

Τὰ εἰς νος μονογενῆ δισύλλαβα φύσει μακρᾷ παραληγόμενα βαρύνεται, φῶνος, σῶνος, ταῦνος. ὅτὸ δὲ σηνὸς ὀξύνεται. τὰ δὲ ἐπιθετικὰ ὀξύνεται, γλαυκὸς, λευκὸς, γραικὸς.

Τὰ εἰς νος δισύλλαβα κύρια, εἰ ἔχει τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, πλὴν τοῦ ν, [69]) βαρύνεται, λάπος, κόπος, ἄρκος, κέρκος, 10ὅρκος. σεσημείωται τὸ θηρικός. τὸ δὲ χαλκὸς ἔχει λ. καὶ τὸ φολκὸς ἐστι τριγενὲς ἔχον καὶ τὸ λ

Τὰ εἰς νος δισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου τοῦ σ ἀπὸ συμφώνου ἀρχόμενα βαρύνε15ται, δίσκος, φύσκος, μύσκος. τὸ δὲ ἀσκὸς ἀπὸ φωνήεντος ἄρχεται.

Τὰ εἰς νος διβράχεα μονογενῆ, εἴτε ἀρσενικὰ, εἴτε θηλυκὰ, βαρύνεται, εἰ μὴ διαστολή τις σημαινομένου γένοιτο. οἷον κύκλος, πλάκος, πό20κος, τόκος. σεσημείωται τὸ φακὸς ὀξύτονον. τὸ δὲ φάκος κύριον ὄνομα ὄρους.

Τὰ εἰς νος δισύλλαβα τριγενῆ ὀξύνεται, οἷον λευκὸς, γλαυκὸς, πλὴν τῶν παραληγόντων τῷ ω.

---

69) καταλήγουσαν βαρύνεται, μάκκος, ὄλκος τὸ κύριον, λίγκος, φόρκος.

Τὰ εἰς νος δισύλλαβα προσηγορικὰ μὴ παρασχηματιζόμενα εἰς θηλυκὸν γένος, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, πλὴν τοῦ κ, κ. τ. λ.

Τὰ εἰς κος ὑπὲρ δύο συλλαβὰς α παραληγόμενα, οὗ προηγεῖται σύμφωνον, ἢ σύμφωνα, κύρια ὄντα, βαρύνεται, λάμβδακος, πίνακος καὶ ἀμάρακος, ἴθακος. σεσημείωται τὸ ἀσακὸς καὶ ἀλακὸς καὶ καλλιακός.

Τὰ εἰς κος ὑπερδισύλλαβα παραληγόμενα τῷ α προσηγορικὰ ἢ ἐπιθετικὰ ὀξύνεται, λιθακὸς, μαλθακὸς, ψητακὸς, ἀστακὸς, φυλακὸς, ὁ φύλαξ, φύλακος δὲ τὸ κύριον, φαρμακὸς, ὁ ἐπὶ καθαρμῷ τῆς πόλεως τελευτῶν, φαρμακεὺς δὲ, ὁ γόης. σεσημείωται τὸ θύλακος, ὕσσακος, αἴσακος, προπαροξυνόμενα, καὶ τὸ μαίμακος σύνθετον.

Τὰ διὰ τοῦ εἰς ακος κτητικὰ ὀξύνεται, δηλιακὸς, φρυγιακὸς, ἰλιακός.

Τὰ εἰς εκος ἔν ἐστιν, ἀλάεκος, ἀπὸ τῆς γενικῆς.

Τὰ εἰς οκος ὑπὲρ δύο συλλαβὰς μακρᾷ παραλήγοντα [70]) σπάνια ὄντα βαρύνεται, ἔστρηκος, μάληκος, πίθηκος. τὸ δὲ ἰωλκὸς καὶ ἀρτισκὸς ὀξύνεται. πάγαικος, φίλαικος, μίθαικος, σόλοικος, μόνοικος τὸ κατὰ συναλοιφὴν, τὸ εὐβοϊκὸς ἐπιθετικὸν ὄν.

Τὰ εἰς κος ὑπερδισύλλαβα, εἰ παραλήγοιτο ε μακρῷ, βαρύνεται, ἄνικος κύριον, παῖκος, γρήνικος, φίλικος. εἰ δὲ τῇ ει διφθόγγῳ, ὀξύνεται,

70) Τὰ εἰς οκος ὑπὲρ δύο συλλαβὰς προπαροξύνονται, σπάνια ὄντα, παππάδοκος, σπέρδοκος. τὸ δὲ ξηροδόκος βαρύνεται, καὶ τὸ ὑγροδοκὸς ὀξύνεται.

Τὰ εἰς οκος ὑπὲρ δύο συλλαβὰς μακρᾷ παραλήγοντα κ. τ. λ.

δαρεικός. βασικὸς δὲ, κελεικὸς, περαμεικός. σεσημείωται τὸ καμικὸς ὀξύτονον καὶ ἔχον τὸ ι μακρὸν, ὡς τὸ παλικός.

Τὰ εἰς ικος κτητικὰ ἐπιθετικὰ καὶ θηλυκὸν ἔχοντα ὀξύνεται, γαλατικὸς, ἰταλικὸς, πυθαγορικός. τὸ δὲ ἄδικος οὐ κτητικὸν, τὸ δὲ ἡλίκος καὶ πηλίκος παροξύνονται· οὐ γὰρ κτητικά.

Τὰ εἰς υκος ὑπερδισύλλαβα κύρια ἢ προσηγορικὰ μὴ ἔχοντα κατ' ἐθίαν θηλυκὰ κτητικῆς ἐννοίας ἐχόμενα βαρύνεται, ἴβυκος, ἄμμυκος, κάρυκος, ἴνυκος. τὸ δὲ λιβυκὸς καὶ θηλυκὸς καὶ ἀλυκὸς ὀξύνεται θηλυκὰ ἔχοντα.

Τὰ εἰς σκος ι ἢ υ παραληγόμενα παροξύνεται, σατυρίσκος, νεανίσκος, παιδίσκος. τὸ μέντοι δαμασκὸς καὶ ἀρτηκὸς ὀξύνεται, ἰῶτα οὐκ ἔχοντα.

Τὰ εἰς λος διβράχεα βαρύνεται. εἰ δέ τι ὀξύνεται, διαστολὴν πέπονθεν, ἢ ἕνεκα τριγενείας, πάλος, σάλος, λάλος, φάλος, θόλος. τὸ δὲ ὀλὸς ὁ ὀλέθριος ὀξύνεται.

Τὰ εἰς λος μονογενῆ ὑπὲρ δύο συλλαβὰς μὴ ἀπὸ τοῦ χ ἀρχόμενα ἔχοντα δίχρονον ἐκτεταμένον, εἰ μή τις εἴη διαστολὴ, καὶ βαρύνεται, ἴλος τὸ κύριον, ἴλος δὲ ὁ διεστραμμένος, πῖλος, μῦθος, στύλος, στρογγύλος. τὸ δὲ χυλὸς καὶ χιλὸς, ἡ τροφὴ, ὀξύνεται ἀπὸ τοῦ χ ἀρχόμενα. τὸ δὲ ψιχὸς τριγενές. καὶ τὸ νεῖλος βαρύνεται. καὶ τὸ δειλὸς ὀξύνεται.

Τὰ εἰς λος δισύλλαβα κύρια τῷ η παραληγόμενα προπερισπᾶται, οἷον μῆλος, βῆλος, δῆλος, σοφῆλος.

Ἔτι τὰ εἰς ηλος δισύλλαβα προσηγορικὰ ἢ ἐπιθετικὰ τῷ η παραληγόμενα, εἰ ἔχοι ἄφωνον πρὸ τοῦ η, ὀξύνεται, πηλὸς, βηλὸς, οὐλός. τὸ μέντοι ἦλος καὶ ζῆλος βαρύνεται, οὐδὲ γὰρ ἄφωνον ἔχει.

Τὰ εἰς αυλος δισύλλαβα μονογενῆ μὴ κύρια ὀξύνεται, αὐλὸς, ἀυλὸς, καυλός. τὸ δὲ βραῦλος, παῦλος, σαῦλος, κύρια, καὶ τὸ ναῦλος, μὴ ὂν κύριον. τὸ δὲ φαῦλος ἐπίθετον.

Τὰ εἰς λος ἐπιθετικὰ, ἔχοντα πρὸ τοῦ λος διφθογγον τὴν διὰ τοῦ υ βαρύνεται, οἷον φαῦλος, δοῦλος, οὖλος. τὸ δὲ τραυλὸς ὀξύνεται· καὶ τὸ δειλὸς προσέτι ὀξύνεται.

Τὰ εἰς δύο λλ κύρια ἀρσενικὰ βαρύνονται, ὕλλος, τέλλος, μύλλος, ποιητὴς κωμικὸς, γάλλος, ψύλλος τὸ κύριον. τὸ δὲ κυλλὸς ὀξύνεται, ὡς ἐπιθετικὸν, καὶ τὸ μαλλὸς, θηλυκὸν, ὄνομα πόλεως.

Τὰ εἰς δύο λλ προσηγορικὰ, εἰ μὴ παραλήγοιεν ι, ὀξύνεται, μαλλὸς, φαλλός. τὸ [71]) σίλλος, καὶ βίλλος, τὸ ἀνδρεῖον αἰδοῖον, τὸ κοινῶς βιλλὶν, παρὰ ἐφεσίοις βαρύνεται. σεσημείωται τὸ ψύλλος τὸ ἐπὶ τοῦ ἔθνους.

Τὰ εἰς λος μετ' ἐπιπλοκῆς συμφώνου βαρύνεται. εἰ δέ τι εἴη ὀξύτονον, ἐπιθετικὸν ὑπάρχει, ὅπλος, βύβλος, βίβλος, ὄχλος, κόχλος, πέπλος, κύκλος. τὸ δὲ τυφλὸς ὀξύνεται, ἐπιθετικὸν ὄν, ὥσπερ καὶ τὸ

71) φαλλὸς, φελλὸς, τὸ.

στρεβλὸς, καὶ ἐσθλός. σεσημείωται τὸ μοχλὸς ὀξυνόμενον.

Τὰ εἰς αλλος τρισύλλαβα μὴ ἐθνικὰ προπαροξύνεται, κρύσταλλος, πίαλλος, ὄκταλλος, ὁ ὀφθαλμὸς παρὰ βοιωτοῖς. τὸ δὲ τριβαλλὸς ἐθνικὸν, καὶ τὸ προβαλλὸς ἡ ἀσπὶς ὀξυνόμενον.

Τὰ ὑπὲρ τρεῖς συλλαβὰς ἐκφερόμενα παραληγόμενα τῷ ᾱ βαρύνεται, εἰ μὴ ἀπὸ τοῦ η ἄρχοιτο, ἐρίβαλλος τὸ μαρώπιον [72]), περίαλλος τὸ ποιαχίον, αἰγίδαλλος. κραταπαλλὸς δὲ, εἶδος νομίσματος, καὶ κορυδαλλὸς ὀξύνεται.

Τὰ εἰς λλος πολυσύλλαβα, ὁποίῳ φωνήεντι παραλήγει πλὴν τοῦ α, προπαροξύνεται, μύσκελλος, μάρκελλος, κύριλλος, σόφιλλος, δόριλλος. τὸ δὲ ὀπτίλλος παροξύνεται. καὶ τὸ νεογιλλὸς ἔχει θηλυκόν.

Τὰ διὰ τοῦ αλος, εἰ ἔχει τὴν τρίτην ἀπὸ τέλους μακρὰν, προπαροξύνεται, κώδαλος, τάνταλος, ἅρπαλος, ἴξαλος, δαίδαλος. σεσημείωται τὸ ὀμφαλὸς, καὶ τὸ θεσσαλός.

Τὰ διὰ τοῦ αλος ἔχοντα τὴν τρίτην συνεσταλμένην, θηλυκῶν ἐστερημένα, εἰ μὴ περιεκτικῇ σημασίᾳ ἐκφέρηται, προπαροξύνεται, ἐγκέφαλος, πίαλος, φίγαλος, δάμαλος. τὸ δὲ ἰταλὸς ὀξύνεται. σεσημείωται δὲ τὸ μέγαλος προπαροξύτονον.

Τὰ διὰ τοῦ αλος ὑπερδισύλλαβα μετὰ τοῦ ᾱ ἐκτεταμένου βαρύνεται, φάρσαλος, τάβακος.

---

72) μαρσίπιον.

Τὰ διὰ τοῦ ελος μονογενῆ προπαροξύνεται, εἰ μὴ πάθος τι γένοιτο, ἄμπελος, σθένελος, πύελος, κύψελος, ἀσφόδελος, ἡ βοτάνη. ἀσφοδελὸς, ὁ τόπος ὁ περιέχων, τὸ διελὸς, τὸ θειλινὸν, ὀξύνεται, καὶ τὸ ὀβελὸς καὶ μυελός.

Τὰ διὰ τοῦ ελος ὑπερθετικὰ ὑπερδισύλλαβα ἔχοντα τὴν τρίτην μακρὰν προπαροξύνεται, ἀείδελος, εἴκελος, εὐτράπελος, πέμπελος ὁ παλαιός. εἰ δὲ τρισύλλαβα εἴη, ἐπιθετικὰ μὴ ὄντα σύνθετα ὀξύνεται, σικελὸς, στρεβελὸς, κεφελός. τὸ δὲ ζάφελος, σύνθετον ὄν, προπαροξύνεται.

Τὰ διὰ τοῦ ηλος ὑπερδισύλλαβα μὴ ἔχοντα ἴδια θηλυκὰ προπαροξύνεται, εὔκηλος, τράχηλος, κάτηλος. τὸ δὲ ῥιγηλὸς ἔχει θηλυκόν.

Τὰ διὰ τοῦ ηλος ὑπερδισύλλαβα ἁπλᾶ ἔχοντα θηλυκὰ ὀξύνεται, σιγηλὸς, μιμηλὸς, ἀπατηλὸς, ὑψηλὸς, ὑδρηλός.

Τὰ διὰ τοῦ ιλος ἀρσενικὰ ὑπερδισύλλαβα ἔχοντα τὸ ι βραχὺ παροξύνεται. εἰ δέ τι προπαροξύτονον εἴη, ἢ πάθει ἢ γένει, ναυτίλος, τρωΐλος, ζωΐλος, πενθίλος. τὸ δὲ αἰγιλὸς θηλυκὸν προπαροξύνεται. τὸ δὲ κόϊλος ἀπὸ τοῦ κοῖλος κατὰ πάθος, καὶ τὸ μίτιλος ὰ ἔσχατος προπαροξύνεται.

Τὰ διὰ τοῦ ιλος ὑπερδισύλλαβα, εἰ ἔχοι τὸ ι ἐκτεταμένον, προπαροξύνεται, εἰ μὴ ἡ τρίτη ἔχοι τὸ α, οὗ προκατάρχει σύμφωνον, στρόβιλος, εἶδος ὀρχήσεως, στροβιλὸς δὲ ἡ συστροφὴ τοῦ

ἐχίνου, ἔσβιλος, ὅμιλος, πάμμιλος [73]), ἀλλ' οὐκ ἐν συλλήψει τὰ σύμφωνα. τὸ δὲ καδμῖλος ὁ ἑρμῆς περισπᾶται ἔχον τὸ α.

Τὰ εἰς ολος ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ κύρια ἢ προσηγορικὰ προπαροξύνεται, ἄσβολος, εὔκολος. τὸ δὲ αἰόλος, εἴτε κύριον, εἴτε ἐπίθετον, παροξύνεται. καὶ τὸ βουκόλος παροξύτονον. τὸ δὲ ὀβολὸς ὀξύνεται. Greg. Cor. p. 11 Nr. 29.

Τὰ διὰ τοῦ υλος τρισύλλαβα προσηγορικὰ, ἢ κύρια, εἰ ἄρχοιτο ἀπὸ φύσει μακρᾶς, παροξύνεται, κρυκύλος, ἀκρύλος, κηρύλος, αἰσχύλος, ῥωμύλος. σεσημείωται τὸ αἴτυλος καὶ ὄγκυλος. τὸ δὲ αἴσυλος ἐπίθετόν ἐστιν.

Τὰ διὰ τοῦ υλος τρισύλλαβα ἐπιθετικὰ ἁπλᾶ ἔχοντα τὴν τρίτην μακρὰν παροξύνεται, στωμύλος, αἰμύλος, ὁ πρᾶος, στρογγύλος, ἀγγύλος, καμπύλος. τὸ δὲ αἴσυλος προπαροξύνεται ὡς σύνθετον, ἀπὸ τοῦ α καὶ τοῦ συλῶ, ὁ πολλὰ συλῶν.

Τὰ εἰς υλος τρισύλλαβα κύρια ὄντα, ἔχοντα τὴν πρώτην συλλαβὴν μηκυνομένην, παροξύνεται· προσηγορικὰ δὲ ὄντα προπαροξύνεται. παροξύνεται δὲ κύλλος, βακχύλος, χαρμύλος. προπαροξύνεται δὲ τὸ κίνδυλος, σφόνδυλος, δάκτυλος, σφόγγυλος. τὸ δὲ ἄξυλος καὶ ὄξυλος κύρια ὄντα τοῖς προσηγορικοῖς κατὰ τὸν τόπον ἠκολούθησαν.

---

73) πάμβιθος.

Τὰ διὰ τοῦ ῡλος τριβράχεα, εἰ ἔχοιεν ἐν τῇ τρίτῃ συλλαβῇ τὸ ῑ, εἰ μὴ εἴη παρώνυμον ἐν ἰσοσυλλάβοις, προπαροξύνεται, τίτυλος, ἴστυλος τὸ κύριον. τὸ μέντοι χρεμύλος καὶ κρατύλος παροξύνονται· οὐκ ἔχοντα ῑ ἐν τῇ πρώτῃ. τὸ δὲ στάφυλος παρώνυμόν ἐστι παρὰ τὸ σταφυλή. καὶ τὸ ἄγκυλος κύριον προπαροξύνεται.

Τὰ διὰ τοῦ ῡλος ὑπερτρισύλλαβα παροξύνεται, εἰ μὴ ἔχοιεν ἔννοιαν συνθέσεως, οἷον ἐρωτύλος, ἰαμβύλος. τὸ μέντοι εὐρύπυλος σύνθετον.

Τὰ διὰ τοῦ ωλος μονογενῆ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, εἰ μὴ ἔχοι πρὸ τοῦ ω δύο σύμφωνα κατ' ἐπιπλοκήν, ὧν τὸ δεύτερόν ἐστι τ, οἷον κίμωλος, εὐρύσωλος, φάσκωλος, ὁ θύλακος. καστωλὸς δὲ ὀξύνεται, ἔχον δύο σύμφωνα, ὧν τὸ ἓν τ ἐστί. τὸ μέντοι σπάρτωλος βαρύνεται· τὰ γὰρ δύο σύμφωνα οὐκ εἰσὶν ἐν συλλήψει, ἀλλ' ἐν διαστάσει. τὸ δὲ αἰτωλὸς τριγενές.

Τὰ διὰ τοῦ ωλος ὑπερδισύλλαβα ἁπλᾶ ῥηματικὰ ἔχοντα τὴν τρίτην μακρὰν ὀξύνεται, φειδωλὸς, αἰτωλὸς, ἁμαρτωλός. τὸ μέντοι ἕωλος, ὁ χθεσινὸς, προπαροξύνεται, ὡς παρώνυμον, καὶ τὴν τρίτην βραχεῖαν ἔχει.

Τὰ εἰς λος ὑπερδισύλλαβα παραληγόμενα τῇ διὰ τοῦ ῡ διφθόγγῳ προπαροξύνεται, δίαυλος, ἴουλος, πούμουλος, ὕπουλος.

Περὶ τῶν εἰς μος, νος, ξος, πος.

Βιβλιον ζ.

Τὰ εἰς μος ἔχοντα πρὸ τοῦ μ τὸ γ ὀξύνεται προσηγορικὰ ὄντα, νυγμὸς, φραγμὸς, τιναγμὸς, ἀλλαγμὸς, ὑλαγμὸς, διωγμός. σεσημείωται τὸ ὄγμος, ἡ τάξις, βαρυνόμενον, καὶ τὸ φόβγμος προσηγορικόν.

Τὰ εἰς μος πρὸ τοῦ μ δ ἔχοντα ὀξύνεται, προσηγορικὰ ὄντα· εἰ δὲ κύρια εἴη, βαρύνεται. ὀξύνεται δὲ ταῦτα, ἀρδμὸς, σκιαδμός· βαρύνονται δὲ ταῦτα, κάδμος, κύδνος.

Τὰ εἰς μος ἔχοντα πρὸ τοῦ μ θ ἢ χ ὀξύνεται, βαθμὸς, ἰσθμὸς, σταθμὸς, αὐχμός. σεσημείωται τὸ ῥίθμος βαρυνόμενον.

Τὰ εἰς μος ἔχοντα πρὸ τοῦ μ τὸ κ σπάνια μέν εἰσι, καὶ βαρύνεται, οἷον λάκμος, δέκμος. τὸ μέντοι τρωκμὸς ὀξύνεται.

Τὰ εἰς μος λήγοντα, ἔχοντα πρὸ τοῦ μ τὸ τ, βαρύνονται, οἷον πότμος, πάτμος, λάτμος. σεσημείωται τὸ ἀτμὸς ὀξυνόμενον.

Τὰ εἰς μος λήγοντα, ἔχοντα πρὸ τοῦ μ τὸ σ, προσηγορικὰ ὄντα ὀξύνεται, μὴ ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ τὸ σ μόνον, εἰς ο καταλῆγον, βρυσμὸς, δεσμὸς, δασμὸς, θεσμὸς, χρησμὸς, σπασμός. πρόκειται προσηγορικὰ, ἵνα φύγωμεν τὰ βαρύτονα κύρια, τὸ κροῖσμος καὶ τὸ κάσμος, οὐκ ἔχοντα τὸ ο μόνον. τὸ δὲ κόσμος βαρύνεται,

καὶ τὸ προυσμὸς ὀξύνεται, καὶ τὸ σύνδεσμος προπαροξύνεται σύνθετον, ὀφθαλμὸς, τιλμὸς, ψαλμὸς, παλμὸς, ἰνδαλμός. τὸ δὲ ἄλμος τὸ κύριον καὶ τὸ προσηγορικὸν βαρύνεται.

Τὰ εἰς μος ἔχοντα τὴν πρὸ τέλους εἰς μ κα-5 ταληγουσαν ἀρσενικὰ προσηγορικὰ, εἰ ἀπὸ τῆς πρώτης εἴη συζυγίας, ὀξύνεται, γράφω γραμμὸς, τρίβω τριμμὸς, θλίβω θλιμμός. τὸ δὲ ἄμμος καὶ ψάμμος θηλυκά. ἔτι καὶ τὸ μνάμμος, ὁ ἔκγονος, βαρύνεται, ἐπιθετικὸν ὄν. 10

Τὰ εἰς μος δισύλλαβα τῷ η παραληγόμενα κύρια ὄντα βαρύνεται, κρῆμος, φῆμος, πρῆμος. τὰ προσηγορικὰ ὀξύνεται, εἰ μὴ διαστολή τις εἴη, κημὸς, ἡ χώνη, τὸ ἐπιτιθέμενον ἐπὶ τῇ ὑδρίᾳ, ἐξ ἧς αἱ ψῆφοι φέρονται, κνημὸς, ὁ τραχὺς τόπος 15 τῶν ὀρέων, δημὸς, τὸ λῖπος, δῆμος δὲ, ὁ ὄχλος.

Τὰ εἰς αμος μονογενῆ δισύλλαβα, μὴ ὄντα τριγενῆ, βαρύνεται, βράμος, γάμος, τάμος, ἄμμος. τὸ μέντοι ἀμὸς, ὁ ἡμέτερος, καὶ μηδαμινὸς, τριγενὲς ὄν, ὀξύνεται. 20

Τὰ εἰς μος δισύλλαβα παραληγόμενα τῷ ο ἢ ε, μὴ ὄντα τριγενῆ, βαρύνεται, ἀρχόμενα ἀπὸ συμφώνου ἢ συμφώνων, βρόμος, γόμος, τρόμος, δρόμος, ῥόμος, ὁ σκώληξ, τόμος, ὁ τετμημένος, τομὸς, ὁ τέμνων. 25

Τὰ εἰς υμος ἔχοντα τὸ υ ἐκτεταμένον δισύλλαβα ὀξύνεται, κρυμὸς, ῥυμὸς, θυμὸς, χυμός. θύμος [74]) δὲ τὸ κύριον, ἢ ἡ βοτάνη. τὸ δὲ

74) θῦμος.

ἐρυμὸς [75]) καὶ ἐπὶ τοῦ κυρίου καὶ προσηγορικοῦ ὀξύνεται.

Τὰ εἰς ωμος δισύλλαβα προσηγορικὰ ἀρχόμενα ἀπὸ συμφώνου ἢ τοῦ μ, εἰ ἐπὶ οὐσίας τάτοιτο, ὀξύνεται, βωμὸς, ψωμὸς, ζωμὸς, θωμὸς, ὁ σωρός. τὸ μέντοι κῶμος, ἡ ᾠδὴ, βαρύνεται, καὶ τὸ μῶμος ἀπὸ τοῦ μ ἄρχεται, καὶ τὸ φῶμος καὶ βρῶμος κύριον βαρύνεται, ὥσπερ τὸ πῶλος.

Τὰ εἰς μος δισύλλαβα διφθόγγῳ παραλήγοντα, ἀπὸ συμφώνου ἀρχόμενα, ὀξύνεται, λοιμὸς, λαιμός. τὸ δῆμος [76]) καὶ οἶμος βαρύνεται.

Τὰ διὰ τοῦ αμος τριβράχεα προπαροξύνεται, εἰ μὴ προηγεῖται τῷ α τὸ τ, πλόκαμος, πέραμος, κάλαμος, θάλαμος, κύαμος, πρίαμος. τὸ μέντοι ἰταμὸς καὶ ποταμὸς ὀξύνεται ὡς ἔχοντα τὸ τ πρὸ τοῦ α.

Τὰ διὰ τοῦ αμος, εἰ ἔχει τὴν πρώτην θέσει μακρὰν, εἰ μὲν κύρια εἴη, προπαροξύνεται, πύραμος, σίσαμος· εἰ δὲ μὴ, ὀξύνεται, οὐλαμὸς, χιλιοαμὸς, ἡ κατάδυσις, φωριαμὸς, τὸ πιβώτιον.

Τὰ διὰ τοῦ αμος, εἰ ἄρχεται ἀπὸ δύο συμφώνων, κύρια ὄντα ἢ ἐπίθετα, προπαροξύνεται, ἄρταμος, ὁ μάγειρος, ὄρχαμος, πέργαμος, ἔμπαμος. τὸ μέντοι κινδαμὸς, ὁ ἐλιγμὸς, ὀξύνεται προσηγορικὸν ὄν.

---

75) τὸ δὲ δρυμὸς.

76) δεῖμος.

Τὰ εἰς μος ὑπερδισύλλαβα παραληγόμενα τὸ ε προπαροξύνεται, τήλεμος, ἔχεμος, πόλεμος, ἄνεμος. τὸ δὲ θελεμὸς ἀπὸ τοῦ θελημὸς ὀξύνεται.

Τὰ εἰς μος ἁπλᾶ τῷ η παραληγόμενα σπάνια ὄντα προπαροξύνεται, ἔρημος ἀττικῶς[77]), ἐρῆμος δὲ παρὰ τῷ ποιητῇ, ἴημος. ἔτι καὶ τὰ σύνθετα, ἕβδομος[78]), εὔφημος.

Τὰ εἰς ιμος ὑπερδισύλλαβα προπαροξύνεται, ἀγώγιμος, ὄψιμος, πρώϊμος, ὠφέλιμος, ἄλκιμος.

Τὰ εἰς ομος ὑπερδισύλλαβα προπαροξύνεται, κέρτομος, ἄνδρομος, ὁ ἀνδρώδης, ἕβδομος, θέομος· πλὴν τοῦ καρατόμος, ἀγριονόμος, ἀπὸ ῥημάτων συντεθέντων.

Τὰ εἰς υμος ἔχοντα τὸ υ βραχὺ πρὸ τοῦ μος προπαροξύνεται, ἔλυμος, ἔτυμος, δίδυμος, σόλυμος, ἔρυμος. τοῦ μέντοι κολυμὸς καὶ ῥυμὸς τὸ υ μακρόν.

Τὰ εἰς μος τρισύλλαβα παραληγόμενα τῇ οι διφθόγγῳ, μὴ παρεσχηματισμένα θηλυκῷ γένει, ὀξύνεται, κυδοιμὸς, ἀθροισμὸς, ἀφλοισμὸς, ἡ ταραχή. τὸ δὲ ἕτοιμος ἀττικόν· τὸ δὲ ἑτοῖμος κοινόν. καὶ τὸ ἀλύδοιμος, ὁ ἰατρὸς, προπαροξύνεται.

Τὰ εἰς νος ἔχοντα πρὸ τοῦ ν ἔν τι τῶν μέσων στοιχείων, ἔχοντα θηλυκὸν γένος, παροξύνε-

---

ἀττικῶς

77) κοινῶς (sic).

78) εὔδημος pro ἕβδομος.

ται, στεγνὸς, στυγνὸς, ἀγνὸς, κεδνός. τὸ μέντοι λάγνος βαρύνεται· οὐκ ἔχει γὰρ ἴδιον θηλυκόν. ὡσαύτως καὶ τὰ κύρια, κύδνος, πύδνος, καλύδνος.

Τὰ εἰς νος ἁπλᾶ ἔχοντα πρὸ τοῦ η ἂν τι τῶν ἀντιστοίχων ὀξύνεται, ἐπιθετικὰ ὄντα καὶ μὴ ἔχοντα πρὸ τοῦ τέλους ορ, πυκνὸς, κραιπνὸς, ταρπνὸς, στρυφνὸς, ἰσχνός· σεσημείωται τὸ λίχνος βαρύτονον, ὡς σύνθετον παρὰ τὸ λίαν χαίνειν. τὸ δὲ μόρφνος, ἰσχνὸς (sic) [79]), ὁ μέγας, ἔχει τὸ ορ, καὶ τὸ ὄκνος προσηγορικόν.

Τὰ εἰς νος μονογενῆ δισύλλαβα ἔχοντα πρὸ τοῦ νος ἕν τι τῶν ἀντιστοίχων, πλὴν τοῦ α, βαρύνεται, ὄκνος, κύθνος, πέφνος, ὕπνος, σίφνος. τὸ δὲ καπνὸς ὀξύνεται ἔχον τὸ α.

Τὰ εἰς μνος δισύλλαβα, εἰ παραλήγοι α μετὰ σύμφωνου, βαρύνεται, θάμνος, ῥάμνος. τὸ δὲ ἀμνὸς ὀξύνεται· ἀπὸ τοῦ α γὰρ καὶ ἐπιθετικωτέρου· ἄμενος γὰρ παρὰ τὸ μὴ ἔχειν μένος.

Τὰ εἰς νος δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους μὴ φύσει μακρὰν, μονογενῆ μὲν ὄντα βαρύνεται, ὕμνος, σκύμνος, τέμνος· τριγενῆ δὲ ὀξύνεται, γυμνὸς, σιμνὸς, στυμνὸς, ὁ σκληρός.

Τὰ εἰς νος ὑπερδισύλλαβα κύρια ἢ προσηγορικὰ, μὴ ἔχοντα ἴδια θηλυκὰ, παροξύνεται, ἄτυμνος, λύκαμνος, ἐπίδαμνος, αἴσαμνος. τὸ μέντοι ἐρεμνὸς ἔχει θηλυκὸν τὸ ἐρεμνὴ, ὥσπερ καὶ τὸ ἐρυμνὸς, ὁ κεκαλυμμένος.

---

79) *ἰσχνὸς* abest.

Τὰ εἰς δύο νν βαρύνεται ἀπαρασχημάτιστα ὄντα θηλυκῷ γένει, βλέννος, θύννος, κύννος, δάδυννος, ἄργυννος, τύραννος. τὰ μέντοι ἔχοντα θηλυκὰ ὀξύνεται, ἐραννὸς, ὁ ποθεινὸς, ἀργεννὸς, κελαινὸς, ἐρεβεννός.

Τὰ εἰς ερνος ἰταλιωτικὰ προπαροξύνεται, φαλέρνος, πατέρνος.

Τὰ εἰς ανος δισύλλαβα κύρια ὄντα ἢ προσηγορικὰ, μὴ ἔχοντα διαστολὴν, βαρύνεται, τάνος, φάνος, τὸ κύριον, πάνος, ὁ δίφρος. τὰ μέντοι ἐπιθετικὰ ἢ προσηγορικὰ ἔχοντα διαστολὴν ὀξύνεται, φανός. τὸ δὲ πλάνος βαρύνεται, καὶ τὸ νάνος, ὁ μικρός.

Τὰ εἰς ενος δισύλλαβα, τινὰ μὲν βαρύνονται, ἔνος, ὁ ἐνιαυτὸς, ξένος· τινὰ δὲ ὀξύνονται, κενὸς, στενός.

Τὰ εἰς ηνος κύρια ἢ προσηγορικὰ βαρύνεται, τῆνος, φῆνος, ὁ τόπος, ῥῆνος. τὰ δ' ἐπίθετα ὀξύνεται, φηνὸς, ὁ λαμπρὸς, πτηνὸς, ἔτι καὶ τὸ ληνὸς, μὴ ὂν ἐπίθετον.

Τὰ εἰς ινος δισύλλαβα βαρύνεται, νῖνος, πῖνος, δῖνος, σχῖνος. τὸ δὲ πλεινὸς, αἰνὸς, δεινὸς, ὀξύνεται μὴ ἔχοντα τὸ ῑ μόνον.

Τὰ εἰς υνος δισύλλαβα, εἰ μὴ κύρια εἴη, ὀξύνεται, θυμὸς, ξυνὸς, γρυνὸς, ἡ ῥίζα τῶν ξύλων ἡ ξηρὰ καὶ παχεῖα, πλυνός.

Τὰ εἰς ωνος βαρύνεται, πρῶνος, κῶνος, ὦνος, ἡ τιμή.

Τὰ εἰς αινος καὶ οινος μονογενῆ βαρύνεται, αἶνος, αὔαινος, κόλαινος, οἶνος, σχοῖνος. τὸ μέντοι ποινὸς τριγενές, ὥσπερ τὸ δελφοινὸς, μελαινὸς, καινὸς, αἰνός.

Τὰ εἰς νος διφθόγγῳ παραληγόμενα τῇ διὰ τοῦ υ μονογενῇ ὀξύνονται, καυνὸς, γλαυνὸς, βαυνὸς, ὅπερ οἱ ἀττικοὶ βαρύνουσι, κρουνὸς, βουνὸς, κεραυνός. τὸ μέντοι χαῦνος τριγενές. τὸ δὲ πύραυνος, ὁ χυτρόπους, προπαροξύνεται.

Τὰ εἰς ανος, τοῦ α βραχέος ὄντος, εἰ μὴ θηλυκὰ ἔχοι, εἰ μὴ πρὸ τοῦ α τὸ δ ἢ ε ἢ ι ὑπάρχοι, προπαροξύνεται, στέφανος, κλίβανος, λίβανος, χόανος. σεσημείωται τὸ πελανὸς, οὐρανὸς, σικανός. τὸ δὲ πιθανὸς ἔχει θηλυκόν. τὸ δὲ δ πρὸ τοῦ α, διὰ τὰ ἀπὸ τοῦ δανος, ὅτι πάντα ὀξύνεται, χωρὶς εἰ μὴ ὀφθείη πρὸ τοῦ δ τὸ ρ καταλῆγον, οἷον ἠδανὸς, ὁ ἡδύς, οὐτιδανὸς, ἐλλεδανὸς, ὁ δυστρέφων, ῥιγεδανὸς, ἀπιδανὸς, ἐφυλάξατο κανόνα τὸ ρ πρὸ τοῦ δ ὑπάρχον, διὰ τὸ ἀοδάρδανος, ἰόρδανος, ἃ προπαροξύνονται.

Τὰ διὰ τοῦ ανος τριγενῆ ὀξύνεται, στεγανὸς, ὁ πυκνὸς, πιθανὸς, ὁ πρᾶος, ἱκανὸς, ὀρφανός.

Τὰ διὰ τοῦ μενος μετοχικὰ ὀξύνονται, εἰ μὴ πάθος τι γένηται παρὰ τὴν φωνὴν, τότε γὰρ προπαροξύνεται. τὰ δὲ ὀξύτονα ταῦτα, στησαμενὸς, ἀκεσαμενὸς, φαμενὸς, ἰαμενὸς, σωζομενός. τὸ ἰάλμενος προπαροξύνεται, ὡς παθῶν, ὥσπερ καὶ τὸ ὅρμενος, κλύμενος, ἵκμενος.

Τὰ εἰς ηρος (sic) *ὑπερδισύλλαβα ἁπλᾶ ἢ παρασύνθετα ὀξύνεται, εἰ μὴ παρώνυμα εἴη κατὰ τροπὴν γένους θηλυκοῦ εἰς τὴν εἰς ος κατάληξιν γενόμενα, ἢ παρὰ γενικῆς ἀναπεφθέντα, ἢ παρὰ Συρακουσίοις παράγοιτο καθ' ὁμοιωματικὴν σημασίαν. ὀξύνονται δὲ ταῦτα, τυρσηνὸς, ἀβυδηνός. τὸ δὲ πανσέληνος σύνθετον, ὥσπερ καὶ τὸ δύστηνος, δίμηνος, τρίμηνος.*

Τὰ εἰς ινος *ὑπερδισύλλαβα τὸ ῐ βραχὺ ἔχοντα σημαίνοντα μετουσίαν προπαροξύνεται, ἀρίθινος [80]), δάφνινος, φήγινος, πύρινος, ξύλινος, λίθινος. Τὰ μέντοι ἀπὸ καιροῦ ἢ ἀπὸ ἐπιρρήματος ὀξύνεται, οἷον θερινὸς, χειμερινός.*

Τὰ εἰς ινος *μακρὸν τὸ ῑ ἔχοντα, ὅσα ἐν ὕδατι διαιτᾶται, προπερισπῶνται, ἐχῖνος, κορακῖνος, φωξῖνος, καρκῖνος. ἐχρῆν κατὰ τὸ προπερισπᾶσθαι ὁ μικρὸς βάτραχος. σπάνια δὲ τὰ ὀξύτονα, ἐρινὸς, ὁ ἐρινεὸς [81]), καὶ ὁ χαλινός.*

Τὰ εἰς ινος *τὸ ῑ μακρὸν ἔχοντα, κύρια, ἐθνικὰ, ἢ ἐπιθετικὰ, ἢ ὑποκοριστικῶν ἔννοιαν ἔχοντα προπερισπῶνται, φιλῖνος, κρατῖνος, ἐχῖνος τὸ κύριον, λατῖνος, λεοντῖνος, ῥηγῖνος, μαμερτῖνος. τὸ δὲ λαρινὸς ὀξύνεται.*

Τὰ εἰς εινος *ὑπερδισύλλαβα ἁπλᾶ παρώνυμα ὀξύνεται, φαεινὸς, σκοτεινὸς, ἀλγεινὸς, βορεινὸς, ταπεινὸς τὸ ἐπίθετον. τὸ δὲ εὔξεινος σύνθετον ὃν προπαροξύνεται.*

---

80) *πρίθινος.*

81) *ἐρινὸς ὁ ἐρινεός.*

ἐπίθετα ὀξύνεται, μναρὸς ὁ ἡδύς, λαρὸς ὁ γλυκύς, ψαρὸς, βλαρός.

Τὰ εἰς ηρος δισύλλαβα κύρια ὄντα βαρύνεται, εὐῆρος [84]), τῆρος, ἦρος. τὰ δὲ προσηγορικὰ, εἰ μὴ ἀπὸ συμφώνων ἄρχοιντο, ὀξύνεται, κηρὸς, φηρός. τὸ μέντοι κλῆρος βαρύνεται, ὡς ἀπὸ δύο συμφώνων ἀρξάμενον.

Τὰ εἰς ηρος δισύλλαβα ἐπιθετικὰ ὄντα μετὰ θηλυκῶν, εἰ μὴ ἀπὸ ἡμιφώνου ἄρχοιτο, ὀξύνεται, σκληρὸς, ξηρός. τὸ δὲ λῆρος μονογενές.

Τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῷ ι κύρια ὄντα βαρύνεται, ἶρος, πίρος, τίρος, σπίρος τὸ κύριον. εἰ μέντοι προσηγορικὰ εἰ ἐπιθετικὰ εἴη, ὀξύνεται, ἱρὸς ὁ ἱερὸς, λιρὸς ὁ ἀναιδής. σιρὸς τὸ προσηγορικὸν, ὁ κατώγειος οἶκος.

Τὰ εἰς ος δισύλλαβα παραληγόμενα τῷ ο βαρύνεται, ὅπότε γίνεται ἀπὸ τῶν παραληγομένων τῇ ει διφθόγγῳ [85]) ῥημάτων, εἰ μή τις διαστολὴ γένοιτο, σπόρος, ὅτι σπείρω, πτόρος ὁ πταρμὸς, ὅτι πτείρω, φθόρος, ὅτι φθείρω, μόρος, ὅτι μείρω, κόρος, ὅτι κείρω, φόρος, ὅτι φέρω, φορὸς δὲ ὁ ἄνεμος ὀξυτόνως, ὄρος, εἴρω γὰρ, ὄρρος τὸ [86]) ἀφυλιζόμενον τοῦ γάλακτος, ὀξυτόνως [87]). τὸ μέντοι βορὸς ὁ πολλὰ ἐσθίων, καὶ τὸ χορὸς, καὶ ὁ

84) σῆρος pro εὐῆρος.

85) τῇ ει ῆ ε διφθόγγῳ (sic).

86) ὀρὸς δὲ ὀξυνόμενον τὸ.

87) ὀξυτόνως abest.

φει εἰς ῥῆμα τῷ ε παραληγόμενον, βαρύνεται, τρόπος ὁ τρέπων, τροπὸς ὁ τετραμμένος, κόμπος τὸ προσηγορικὸν, κομπὸς τὸ ἐπίθετον, τόπος, κόπος, κόλπος, δόρπος. τὸ μέντοι σκοπὸς ὀξύνεται, ὥςπερ τὰ ἐπίθετα, λοιπὸς, γυπὸς, πομπὸς, χαλεπός.

Τὰ διὰ τοῦ δαπος πάντα παραγμένα ὀξύνεται, ἡμεδαπὸς, ποδαπὸς, παντοδαπὸς, ἀλλοδαπός. ἔτι τὰ ἐπιθετικὰ σύνθετα τῷ ω παραληγόμενα, αἱμωπὸς, κελαινωπὸς, πολυωπός.

Τὰ εἰς πος ὑπερδισύλλαβα ἀρσενικὰ ὄντα καὶ ἐπιθετικὰ, εἰ μὴ παραλήγοιτο τῷ ω, προπαροξύνεται, ἄροπος, ἄναπος, ἀστέροπος, ὄλυμπος, εὔριπος, χάροπος τὸ κύριον, χαροπὸς δὲ τὸ ἐπίθετον. σεσημείωται τὸ ἀτραπὸς ὀξυνόμενον. τὰ δὲ παραληγόμενα τῷ ω κύρια ἢ προσηγορικὰ καὶ βαρύνεται καὶ ὀξύνεται. τὰ μὲν οὖν κύρια ἀπὸ φύσει μακρᾶς ἀρχόμενα ὀξύνεται, οἰνωπὸς, ἀσωπὸς, ὀρωπός. σημείωσαι τὸ αἴσωπος. τὸ δὲ κρίτωπος καὶ μελάνωπος κύρια οὐκ ἀπὸ μακρᾶς ἄρχονται. τὸ δὲ ἄνθρωπος προσηγορικὸν προπαροξύνεται. τὸ μέντοι στενωπὸς ὀξύνεται προσηγορικὸν ὄν, ἐπὶ θηλυκοῦ μόνου. ἔτι καὶ τὸ ἀλωπὸς ὀξύνεται.

Περὶ τῶν εἰς ρος.

Βιβλίον ἡ.

Τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῷ α κύρια ὄντα ἢ προσηγορικὰ βαρύνονται, λάρος, κάρος, φάρος, σάρος ποταμὸς, πάρος. τὰ μέντοι

ἐπίθετα ὀξύνεται, μηρὸς ὁ ἡδύς, λαρὸς ὁ γλυκύς, ψαρὸς, βλαρός.

Τὰ εἰς ηρος δισύλλαβα κύρια ὄντα βαρύνεται, εὐῆρος [84]), τῆρος, ἦρος. τὰ δὲ προσηγορικὰ, 5εἰ μὴ ἀπὸ συμφώνων ἄρχοιντο, ὀξύνεται, κηρὸς, φηρός. τὸ μέντοι κλῆρος βαρύνεται, ὡς ἀπὸ δύο συμφώνων ἀρξάμενον.

Τὰ εἰς ηρος δισύλλαβα ἐπιθετικὰ ὄντα μετὰ θηλυκῶν, εἰ μὴ ἀπὸ ἡμιφώνου ἄρχοιτο, ὀξύνεται, 10σκληρὸς, ξηρός. τὸ δὲ λῆρος μονογενές.

Τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῷ ῑ κύρια ὄντα βαρύνεται, ἶρος, πῖρος, τῖρος, σπῖρος τὸ κύριον. εἰ μέντοι προσηγορικὰ εἰ ἐπιθετικὰ εἴη, ὀξύνεται, ἱρὸς ὁ ἱερὸς, λιρὸς ὁ ἀναιδής. σιρὸς τὸ 15προσηγορικὸν, ὁ κατώγειος οἶκος.

Τὰ εἰς ος δισύλλαβα παραληγόμενα τῷ ο βαρύνεται, ὅπότε γίνεται ἀπὸ τῶν παραληγομένων τῇ ει διφθόγγῳ [85]) ῥημάτων, εἰ μή τις διαστολὴ γένοιτο, σπόρος, ὅτι σπείρω, πτόρος ὁ πταρμὸς, 20ὅτι πτείρω, φθόρος, ὅτι φθείρω, μόρος, ὅτι μείρω, κόρος, ὅτι κείρω, φόρος, ὅτι φέρω, φορὸς δὲ ὁ ἄνεμος ὀξυτόνως, ὅρος, εἴρω γὰρ, ὅρος τὸ [86]) ἀφυλιζόμενον τοῦ γάλακτος, ὀξυτόνως [87]). τὸ μέντοι βορὸς ὁ πολλὰ ἐσθίων, καὶ τὸ χορὸς, καὶ ὁ

84) σῆρος pro εὐῆρος.

85) τῇ ει ῆ ε διφθόγγῳ (sic).

86) ὁρὸς δὲ ὀξυνόμενον τὸ.

87) ὀξυτόνως abest.

σορὸς ὁ τάφος, καὶ τυρὸς ὀξύνεται· οὐ γὰρ γίνονται ἀπὸ τοιούτων ῥημάτων. σεσημείωται τὸ δαρὸς ὁ δεδαρμένος, εἰ καὶ ἐκ τοῦ δείρω γίνεται.

Τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῷ υ βραχεῖ βαρύνεται, σύρος, τύρος. εἰ δέ τι [88]) ἔχοι ἐκτεταμένον, κύρια μὲν ὄντα βαρύνεται, κῦρος, σκῦρος ἡ νῆσος, φῦρος· μὴ οὕτω δὲ, ὀξύνεται, πυρὸς ὁ σῖτος, τυρὸς, ξυρός.

Τὰ εἰς ρος μονογενῆ δισύλλαβα παραληγόμενα τῷ ω βαρύνεται, δῶρος, βῶρος, χλῶρος τὸ κύριον. σεσημείωται τὸ σωρὸς τὸ πλῆθος. τὰ μέντοι ἐπιθετικὰ ὀξύνεται, χλωρὸς, βλωρὸς, ὁ ὑπόλευκος, ζωρὸς ὁ μικρὸς, μωρὸς, καὶ μῶρος ἀττικῶς.

Τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῇ αι διφθόγγῳ, εἰ μὲν κύρια εἴη, βαρύνεται, σφαῖρος, σκαῖρος· εἰ δὲ μὴ οὕτως, ὀξύνεται, καιρός. τὸ δαῖρος διφορεῖται, ἤτοι ὁ καυστικός.

Τὰ εἰς ρος δισύλλαβα τῇ αυ διφθόγγῳ παραληγόμενα ἐπὶ ἐμψύχων τιθέμενα βαρύνεται, φλαῦρος, σαῦρος, ναῦρος ὁ κακός. σημείωσαι τὸ σταυρὸς ἄψυχον· καὶ τὸ μαῦρος ἀπὸ τοῦ ἀμαυρὸς γέγονεν.

Τὰ εἰς ρος δισύλλαβα τῇ ευ παραληγόμενα σπάνια βαρύτονα, εὖρος, πλεῦρος. τὸ δὲ λευρὸς ἐπίθετον, καὶ νευρὸς ὄνομα ἔθνους.

Τὰ εἰς ρος δισύλλαβα ἁπλᾶ παραληγόμενα τῇ

88) τι abest.

οὐ διφθόγγῳ βαρύνεται, εἰ μή τις εἴη κατὰ διαστολήν, οὖρος ὁ ἄνεμος, οὐρὸς, τόπος ὁ περιορίζων τὰς ναῦς, φροῦρος τὸ κύριον, φρουρὸς τὸ ἐπίθετον, κοῦρος, θοῦρος, λοῦρος πλακοῦντος εἶδος. τὸ δὲ κηπουρὸς, καὶ ὀμουρὸς, ὡς σύνθετα, ὀξύνεται.

Τὰ εἰς ρος ὑπερδισύλλαβα παραληγόμενα χῷ ᾰ, μονογενῆ ἢ κυρία, προπαροξύνεται, πίνδαρος, πάνδαρος, κόμαρος.

Τὰ εἰς ρος ὑπερδισύλλαβα δεδιπλασιασμένα κατ' ἀρχὴν, καὶ τὴν πρώτην συλλαβὴν εἰς ρ καταλήγοντα, προπαροξύνεται, βάρβαρος, τάρταρος, μάρμαρος, κέρβερος, πέρπερος, βόρβορος.

Τὰ εἰς ρος ὑπερδισύλλαβα παραληγόμενα ᾰ συνεσταλμένῳ ἢ ἐκτεταμένῳ, τριγενῆ ὄντα ὀξύνεται, εἰ μὴ δεδιπλασίασται ἐν τῇ ἀρχῇ, χαλαρὸς, λιπαρὸς, χλιαρὸς, ψαφαρὸς, λαγαρὸς ὁ ἀσθενής. τὸ μέντοι φλύαρος προπαροξύνεται, οὐκ ἔχον θηλυκὸν, καὶ τὸ ἔγκαρος ἢ ἔγκυος.

Τὰ διὰ τοῦ τερος τρισύλλαβα, εἰ ἔχοι τὴν ἄρχουσαν μακρὰν, προπαροξύνεται, φέρτερος, βέλτερος, κήτερος [89]), ὕστερος, δεύτερος. τὸ δὲ κατερὸς (sic) ὀξύνεται ἀπὸ τοῦ κρατερός.

Τὰ διὰ τοῦ ερος τριβράχεα τότε βαρύνονται, ὅτε πνευματικὴν ἔννοιαν ἔχοι, ἢ ἐκ δύο προσώπων ἔν τι τὸ κατηγόρημα ποιεῖται, πότερος, πρότερος, ἕτερος, οἷς ἠκολούθησε καὶ τὸ ἑκάτερος.

89) κύντερος.

Τὰ εἰς τερος ὑπερτρισύλλαβα συγκριτικὰ, ἢ συγκριτικῶς παραληγόμενα προπαροξύνεται, κύντερος, βέλτερος, μελάντερος, ὀρέστερος. τούτοις ἠκολούθησε καὶ τὸ κασσίτερος, εἰ καὶ προσηγορικόν ἐστι. τὸ μέντοι ἀριστερὸς ὀξύνεται.

Τὰ διὰ τοῦ ερος τριγενῆ ὄντα καὶ τριβράχεα ὀξύνεται, χωρὶς εἰ μὴ ἔχοι τὸ τ πρὸ τοῦ ε, γόερος, νοερὸς, ψογερὸς, δροσερὸς, τρυφερός.

Τὰ διὰ τοῦ ηρος ὑπὲρ δύο συλλαβὰς, εἴτε κύρια εἴτε προσηγορικὰ εἴτε ἐπίθετα, μὴ ἔχοντα κατ' ἰδίαν θηλυκὰ, προπαροξύνεται, ὄμηρος, σίδηρος, φάληρος, τριέτηρος, πενταέτηρος, τετραφάληρος. τὰ μέντοι διὰ τοῦ ηρος ὑπὲρ δύο συλλαβὰς ἐπιθετικὰ ἔχοντα κατ' ἰδίαν θηλυκὰ ὀξύνεται, λαπηρὸς, ἀταρτηρὸς, τυχηρὸς, ὀλισθηρός. ἰστέον δὲ, ὅτι τὸ πόνηρος καὶ μόχθηρος ἀεὶ οἱ ἀττικοὶ ἀντὶ τοῦ ὀξύνειν προπαροξύνουσιν, ὅταν τὸ ἐπίμονον καὶ ἐπιμόχθηρον σημαίνῃ.

Τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῇ ει διφθόγγῳ ἢ μόνῳ τῷ ι ἐκτεταμένῳ βαρύνεται, κάμειρος, ὄνειρος, πέπειρος, μάγειρος, στάλειρος, σύσειρος[90]). τὸ καυστειρὸς οὐ μάχεται, ἀπὸ γὰρ τοῦ η ἑτράπη εἰς ει.

Τὰ εἰς ρος ὑπερδισύλλαβα παραληγόμενα τῷ ο, σύνθετα ὄντα, προπαροξύνεται, κατήγορος, συνήγορος, περὶ ὧν ἐν τῷ τέλει λέξομεν· νῦν δὲ διαληψόμεθα περὶ τῶν ἐχόντων τὸν τόνον ἐν τῇ παραληγούσῃ, ἄνορος, πάπορος, κατάμορος.

90) στάλιρος, σύσιρος.

Τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τὸ ῡ κύρια ἢ προσηγορικὰ, μὴ περιεκτικὰ, ἢ ἐπιθετικὰ, ἔχοντα κατ' ἰδίαν θηλυκὰ, προπαροξύνεται, πάρσυρος, δίπυρος ὁ θερμὸς, μάρτυρος, δάργυρος. τὸ δὲ ἄχυρος ὁ ἀχύρων παρὰ ἀττικοῖς ὀξύνεται, ὡς περιεκτικόν. τὰ δὲ ἔχοντα θηλυκὰ τριγενῆ ὀξύνεται, λιγυρὸς, καπυρὸς, ἁλμυρὸς, ὀχυρὸς, ἐχυρὸς, ἐκυρός [91]).

Τὰ διὰ τοῦ ωρος ὑπερδισύλλαβα κύρια προπαροξύνεται, Θεόδωρος, ἄψωρος, ἰσόδωρος. τὰ μέντοι προσηγορικὰ ἢ ἐπιθετικὰ καὶ ὀξύνεται καὶ βαρύνεται. καὶ ὀξύνονται μὲν, ὅσα ἔχει ἔννοιαν τοῦ ωρος ῥήματος, θεωρὸς, ὑλωρὸς, ὁ γνήσιος φύλαξ, ἰωρὸς, πυλωρός. τὰ δὲ βαρύνεται, νέωρος, ἀσχέωρος, μετέωρος, ὀλίγωρος.

Τὰ εἰς ρος ὑπερδισύλλαβα παραληγόμενα τῇ αι διφθόγγῳ προπαροξύνονται, κἂν ἐπιθετικὰ ὑπάρχωσιν, εὔκαιρος, ἄκαιρος. τὸ μέντοι ἑταῖρος προπερισπᾶται.

Τὰ εἰς ρος ὑπερδισύλλαβα παραληγόμενα τῇ αυ διφθόγγῳ, μὴ ἔχοντα θηλυκὰ, προπαροξύνεται, πίσαυρος, ἐπίδαυρος, κένταυρος, ἄναυρος. τὸ δὲ θησαυρὸς ὡς περιεκτικὸν ὀξύνεται, ὥσπερ καὶ τὰ τριγενῆ ἀμαυρὸς, ἀφαυρός.

Τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα οὐ προπαροξύνεται, ἐπίκουρος, ἐπάρουρος ὁ κηπουρὸς, ἔλουρος ἐθνικὸν, μελάνουρος, παλίνουρος,

91) ἐκυρὸς, πενθερός.

παλίουρος τὸ φυτόν. σεσημείωται νομίουρος ὁ τὴν νομὴν φυλάττων, καὶ ὑλοκουρὸς ὁ τὴν ὕλην τέμνων.

Τὰ εἰς ρος τρισύλλαβα παραληγόμενα τῇ ου ὀξύνεται, εἰ ἔχοι τὴν ἄρχουσαν μακράν, οἰκουρὸς, κηπουρὸς, τηλουρὸς ὁ μακρὰν ὤν. τὰ μέντοι προπερισπώμενα δισύλλαβα ὁρᾶται ἔχοντα ἐν τῇ πρὸ τοῦ ου δύο σύμφωνα, ἢ καὶ πλείω τῶν χαρακτηριστικῶν τῆς δευτέρας συζυγίας τῶν βαρυτόνων, ἀρκτοῦρος, ἀγχοῦρος, κλαγγοῦρος, ὁ κρατικός (sic). τὸ δὲ λάμπουρος προπαροξύνεται, καὶ τὸ πέρκουρος εἶδος πλοίου.

Τὰ εἰς ρος δισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου ἀρχόμενα ἀπὸ τῆς νε ὀξύνεται, νεκρὸς, νεβρὸς, νεφρός.

Τὰ εἰς ρος δισύλλαβα μετ' ἐπιπλοκῆς τοῦ γ βαρύνεται, μονογενῆ ὄντα, φάγρος, πάγρος, γόγρος. τὰ δὲ τριγενῆ ὀξύνεται, λυγρὸς, ὑγρὸς, μεθ' ὧν καὶ ἀγρός.

Τὰ εἰς ρος δισύλλαβα ἔχοντα δ μονογενῆ βαρύνεται, ἄνδρος, κόδρος, φαῖδρος τὸ κύριον· φαιδρὸς δὲ ὁ λαμπρὸς ὀξύνεται, ὡς τὸ καὶ κυδρὸς [92]) ὁ τίμιος. σεσημείωται τὸ χονδρὸς ὀξυνόμενον, οὐ τὸ ἐπίθετον τριγενὲς ὂν, ἀλλὰ τὸ προσηγορικὸν, εἶδος ἐντέρου ὄν.

Τὰ εἰς ρος δισύλλαβα τριγενῆ ἔχοντα δασὺ πρὸ τοῦ ρ ὀξύνεται, νωθρὸς, σαθρὸς, ψυχρὸς,

92) ὥσπερ καὶ τὸ παδρός.

ἐχθρὸς, αἰσχρὸς, στιφρὸς ὁ συνεστραμμένος. σεσημείωται τὸ γλίσχρος.

Τὰ εἰς ρος δισύλλαβα ἀπὸ συμφώνου ἀρχόμενα ὀξύνεται, μακρὸς, πικρὸς, μικρὸς, νεκρὸς, λοκρὸς, τευκρὸς τὸ ἐθνικὸν, τεῦκρος δὲ τὸ κύριον. τὸ δὲ ἄκρος καὶ ἴγκρος βαρύνεται.

Τὰ εἰς ρος δισύλλαβα ἔχοντα π πρὸ τοῦ ρ μονογενῆ μὲν παροξύνεται, κόπρος, κάπρος, κύπρος, λάμπρος τὸ κύριον, λαμπρὸς τὸ ἐπίθετον· τριγενῆ δὲ ὄντα ὀξύνεται, σαπρὸς, λεπρὸς, λυπρός.

Τὰ εἰς ρος δισύλλαβα ἔχοντα πρὸ τοῦ ρ τὸ τ μόνον ἢ μεθ' ἑτέρου μὴ ἐπιθετικὰ βαρύνεται, χύτρος, λεύκτρος, οἶστρος, βόστρος, ἵστρος. τὸ δὲ δαιτρὸς ὀξύνεται, καὶ τὸ οἰκτρὸς, ἔτι καὶ τὸ φιτρὸς ὁ κορμός.

Τὰ εἰς δύο ρρ ἐπιθετικὰ ὄντα ὀξύνεται, στερρὸς, πυρρὸς τὸ ἐπίθετον, πύρρος δὲ τὸ κύριον, ὥσπερ καὶ τὸ ὕρρος.

Τὰ εἰς ρος ὑπερδισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου ὀξύνεται ἐπιθετικὰ ὄντα, φαλακρὸς, μολοβρὸς, ἐρυθρός. τὰ δὲ σύνθετα τῆς κατὰ τέλος συνθέσεως ὑπερβαινούσης μίαν συλλαβὴν βαρύνεται, δειλανδρος, ἄνανδρος, ἔνυδρος, ἄνυδρος, ὕπανδρος, φίλανδρος, ἄϊδρος.

Τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς κύρια ὄντα μετ' ἐπιπλοκῆς συμφώνου προπαροξύνεται, εἰ μὴ ἐθνικὰ εἴη, μίνυθρος, ἔρυθρος, χάραδρος ποτα-

μὸς, σκάμανδρος. τὸ δὲ οἰνωτρὸς κύριον, ἀφ' οὗ τὸ ἔθνος.

Τὰ εἰς σος διβράχεα βαρύνεται, θράσος, κάσος, δρόσος, πίσος τὸ ὄσπριον, μέσος, ἴσος, πόσος, ὅσος, τόσος [93]).

Τὰ εἰς σος δισύλλαβα τῷ η παραληγόμενα ὀξύνεται, κρωσσὸς [94]) ἡ ὑδρία, κνωσσός. τὸ μέντοι ἀπὸ τοῦ σώσω [95]) βαρύνεται.

Τὰ εἰς σος δισύλλαβα ἀρσενικὰ μονογενῆ παραληγόμενα διχρόνῳ ἐκτεταμένῳ βαρύνεται, ἴσος τὸ κύριον, κίνσος, κρίσος τὸ κύριον, πίσος τὸ κύριον. τὸ δὲ λισὸς ὀξύνεται, καὶ τὸ μεσὸς ἐθνικὸν, καὶ τὸ χρυσός.

Τὰ εἰς σος δισύλλαβα παραληγόμενα διφθόγγῳ ὀξύνεται, ὅτε ἐπιθετικὰ εἴη, ἢ ἐπὶ πόλεως κεῖται, παισὸς πόλις, λουσὸς, πραισὸς, ὅτι ὀξύνεται καὶ τὰ ἐπιθετικὰ δὲ, βλαισός. τὸ μέντοι ναῖσος βαρύνεται, καὶ τὸ βλαῖσος κύριον, καὶ τὸ γαῖσος προσηγορικὸν, εἶδος δόρατος ὄν.

Τὰ εἰς σος δισύλλαβα ἔχοντα πρὸ τέλους συλλαβὴν εἰς ἀμετάβολον λήγουσαν βαρύνεται· εἰ δέ τι εὑρεθῇ ὀξυνόμενον, τοῦτο ὤφθη ἐν τῇ πρὸ τέ-

93) ὅσος, τόσος absunt.

94) Τὰ εἰς σος δισύλλαβα τῷ ι παραληγόμενα βαρύνεται, νῆσος, βῆσος, μνῆσος, ῥῆσος.

Τὰ εἰς σος θηλυκὰ δισύλλαβα τῷ ω παραληγόμενα ὀξύνεται, κρωσσὸς κ. τ. λ.

95) sic.

λους συλλαβῇ ἔχον ῑ ἢ ᾱ. καὶ βαρύνεται μὲν ταῦτα, κόρσος ὁ κρόταφος, μόλσος ὁ δήμιος, καὶ τὸ σέλινον, μόρσος, χέρσος, θάρσος, μύρσος. σεσημείωται τὰ πυρσὸς [96]) ὀξυνόμενον, τὸ κισσὸς καὶ ἀρσός.

Τὰ δὲ ὑπερδισύλλαβα ἔχοντα πρὸ ἀμεταβόλου τὸ ᾱ ἐν τῇ πρὸ τέλους συλλαβῇ βαρύνεται, βάγαρος, μέγαρος. τούτοις ἀκολουθεῖ καὶ τὸ ἀγάθυρσος, εἴτε κύριον εἴτε ἐθνικὸν εἴη.

Τὰ εἰς σος δισύλλαβα ἔχοντα καὶ ἕτερον σ κλιτικὸν ἐν τῇ πρὸ τέλους συλλαβῇ μὴ κατὰ πάθος ὀξύνεται, βεσσὸς τὸ ἐθνικὸν, θυσσὸς, ἀσσὸς, δισσὸς, τρισσὸς, κισσός. ὡσαύτως καὶ τὸ ὕσσος, καὶ ἔσσος ἐπὶ τοῦ κενταύρου. τὸ γὰρ γλωσσὸς ὁ λάλος παρὰ τὸ γλῶσσα γέγονε παρωνύμως. τὸ δὲ κάσσος ἀπὸ τοῦ κάσος γίνεται κατὰ πλεονασμὸν τοῦ σ· ἔστι δὲ καὶ εἶδός τινος ἱματίου οὕτω καλουμένου.

Τὰ εἰς ος ὑπερδισύλλαβα ἔχοντα τὸ ᾱ συνεσταλμένον, ἐνὸς ὄντος τοῦ σ, προπαροξύνονται, κόμπασος, ἅρπασος, δάμασος, βάναυσος. σημείωσαι τὸ κερασὸς φυτὸν ὀξυνόμενον, τὴν δὲ πόλιν

α

βαρύνουσι. τὸ μέντοι ἐγγυσὸς (sic) [97]) ἐκτεταμένον ἔχον τὸ ᾱ ὀξύνεται, καὶ τὸ παρνασσὸς δύο σσ ἔχον, ἔφεσος, ἔρεσος. τὸ μέντοι θυεσσὸς δύο σσ ἔχον ὀξύνεται.

π

96) μυρσὸς (sic).

97) ἐγγυσὸς.

Τὰ εἰς σος ὑπερδισύλλαβα τῷ η παραληγόμενα ὀξύνεται· εἰ δέ τι βαρύτονον εἴη, παρώνυμον ἂν εἴη, καὶ ἔννοιαν συνθέσεως ἔχοι· ταρτησσὸς, λυρνησσὸς, λυκαβησσός. τὸ μέντοι κάβησσος[98]) τινὲς βαρύνουσι. βαρύνεται δὲ ταῦτα, μάρπησσος ἀπὸ τοῦ μάρπισσα[99]). τὸ δὲ μυόνησος, χερόνησος[1]), προικόνησος, ἐλαφόνησος, καὶ ἔτι τὸ πελοπόννησος[2]) σύνθετα.

Τὰ εἰς σσος ὑπερδισύλλαβα ἔχοντα πρὸ τοῦ τέλους ι εἰς σ καταληγον μονογενῆ ὄντα προπαροξύνεται, κυπάρισσος, νάρκισσος, καὶ τὸ φυτὸν καὶ τὸ κύριον, μέλισσος. τὸ μέντοι περισσὸς τριγενές. σεσημείωται τὸ τελμισσός.

Τὰ εἰς σος ὑπὲρ δύο συλλαβὰς ἐκτεταμένον λήγοντα ὀξύνεται· εἰ δέ τι βεβαρυτόνηται, τοῦτο παρώνυμον ὤφθη ἀπὸ θηλυκοῦ[3])· κηφισὸς, ἰλισὸς, κερδισός. τὸ δὲ ἄρκισος ἄρκισα, λάρισος λάρισα, ἀπὸ θηλυκῶν.

Τὰ εἰς σος ὑπερδισύλλαβα τῷ ο παραληγόμενα ἐν διπλασιασμῷ τοῦ σ ὀξύνεται, νεοσσὸς, κολοσσὸς, μολοσσός.

---

98) κάρησσος.

99) ἀπὸ τοῦ μάρπησσα.

1) χερρόνησος.

2) πελοπόνησος.

3) Τὰ εἰς σος ὑπερδισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ι ἐκτεταμένον λήγουσαν ὀξύνεται, εἰ δέ τι βεβαρυτόνηται, τοῦτο παρώνυμον ὤφθη ἀπὸ θηλυκοῦ.

Τὰ εἰς δύο σσ παραληγόμενα τῷ υ προπαροξύνεται, μέθυσσος, γόγγυσσος, διόνυσσος.

Τὰ εἰς σσος ὑπὲρ δύο συλλαβὰς τῷ ο (sic) [4]) παραληγόμενα ὀξύνεται, κερωσσός. τὸ δὲ ἄμυσσος [5]) ἓν σ ἔχει.

Τὰ εἰς τος δισύλλαβα παραληγόμενα τῇ ου ἢ οι ἢ αι διφθόγγῳ, μὴ τῇ ει, ἀρσενικὰ ὄντα, μὴ ἐπιθετικὰ βαρύνεται, εἰ μὴ μέρος σώματος σημαίνει, πλοῦτος, οἶτος, προῖτος, γοῖτος ὁ ῥῦπος, λαῖτος, βροῦτος. τὸ δὲ κλειτὸς ἔχει τὴν ει· καὶ τὸ γλουτὸς σώματος μέλος δηλοῖ· καὶ τὸ βουτὸς θηλυκὸν, κώμη αἰγύπτου· καὶ τὸ παιτὸς ἐθνικόν.

Τὰ εἰς τος δισύλλαβα παραληγόμενα ἐνὶ τῶν φύσει μακρῶν κύρια ὄντα βαρύνεται, κλῆτος, δῶτος, ὦτος. τὸ μέντοι λωτὸς οὐ κύριον. εἰ μέντοι ἐπιθετικὸν εἴη παραλῆγον τῷ η ἢ τῷ ω, ὀξύνεται, εἰ μὴ ἐπὶ ἀριθμοῦ τάττοιτο, ῥητὸς, πλωτὸς, πρωτὸς ὁ πεπρωμένος· πρῶτος δὲ ἐπὶ ἀριθμοῦ.

Τὰ εἰς τος διβράχεα μονογενῆ βαρύνεται, ὁπότε μὴ ἐπ' ἀθροίσματος ἢ κύρια εἰσὶν ἀπὸ ἐπιθετικῶν, βάτος, λάτος, βρότος τὸ αἷμα, βροτὸς δὲ ὁ φθαρτὸς τὸ τριγενές· πότος τὸ συμπόσιον, ποτὸς δὲ τὸ πινόμενον, πάτος ἡ ἀναστροφὴ, στράτος τὸ μὴ ἐπὶ τοῦ ἀθροίσματος, στρατὸς δὲ τὸ σύναγμα. τὸ δὲ κριτὸς καὶ κλιτὸς ὀξύνεται, βα-

4) τῷ ω.

5) ἄμυσσος.

τος, φατὸς, θετὸς, πλυτός. τὸ δὲ ἐπὶ ἀριθμοῦ [6]).

Τὰ εἰς τος δισύλλαβα παραληγόμενα σι [7]) μακρῷ βαρύνεται, σῖτος, τρῖτος ὁ ποταμὸς, ῥῖτος φρέαρ. τὸ μέντοι λιτὸς τριγενές.

Τὰ εἰς τος δισύλλαβα παραληγόμενα τῷ υ προσηγορικὰ ὀξύνεται, βρυτὸς ὁ βρύων, χυτὸς, ῥυτὸς, λυτὸς, κλυτός.

Τὰ εἰς τος δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ρ καταλήγουσαν ἢ καθ' ὅλου εἰς ἀμετάβολον βαρύνεται, εἰ μὴ ἐθνικὰ εἴη, ἔχοντα θηλυκὸν, φόρτος, χόρτος, μύρτος τὸ κύριον, ἄρτος, μίλτος, δέλτος. σεσημείωται κοντὸς καὶ πλατὸς ὀξυνόμενα. τὸ δὲ σπαρτὸς, κυρτὸς, καρτὸς ὀξύνονται ὡς θηλυκὰ ἔχοντα.

Τὰ εἰς στος δισύλλαβα μονογενῆ ὀξύνεται, εἰ μὴ ἡ πρὸ τέλους συλλαβὴ ἔχει τι τῶν φύσει βραχέων, ἱστὸς, αιστὸς, πλαστὸς, μαστὸς, ξυστός. τὸ φαῖστος ἐπὶ τοῦ ἥρωος βαρύνεται. σεσημείωται τὸ βύστος καὶ κάμστος [8]) βαρύτονα. τὸ δὲ νέστος πόλις, καὶ κόστος καὶ νόστος βραχεῖ παραλήγουσι.

Τὰ εἰς τος δισύλλαβα ἔχοντα πρὸ τοῦ τ σ, εἰ μὴ παρασχηματίζοιτο εἰς διάφορα γένη, ὀξύνεσθαι θέλει, εἰ μὴ ὑπερθετικὰ εἴη, ἢ ἐκ πλειόνων συλλαβῶν εἰς διπλασιασμὸν, ἤτοι [9]) δισυλλαβίαν

6) sic.
7) ι pro σι.
8) κάμπτος.
9) διπλασιασμὸν, ἤτοι absunt.

μεταστῆ, πιστὸς, ξυστὸς, μαστὸς [10]), μεστὸς, κεστός. τὸ δὲ πλεῖστος, λῶστος, ῥᾷστος, ὑπερθετικὰ ὄντα βαρύνεται· καὶ τὸ δύστος ὁ δύστηνος, καὶ πόστος ἐκ τοῦ πόσατος γέγονεν.

Τὰ εἰς τος ῥηματικὰ, μὴ ὄντα ἀριθμητικὰ, πρὸ τοῦ τ τὸ κ ἢ τὸ π ἔχοντα ὀξύνεται, πλεκτὸς, ἑλκτὸς, πνυκτὸς, θρεπτός. τὸ δὲ οἶκτος βαρύνεται, οὐ γὰρ ῥηματικὸν, καὶ τὸ ἄρκτος, καὶ πόκτος ὁ πόκος, καὶ τὸ κάκτος. τὸ δὲ πέμπτος, ἕκτος τὰ ἀριθμοῦ [11]) βαρύνεται. τὸ μέντοι πεμπτὸς ὀξύνεται τὸ ἐπιθετικὸν, καὶ τὸ ἕκτος ὁ ἔχων, ἑκτὸς δὲ τὸ χωρὶς ἐπιῤῥήμα.

Τὰ εἰς διπλοῦν τ τ βαρύνεται, χωρὶς τῶν ἀττικῶν, κόττος, ῥύττος, κάττος. τὰ δὲ ἀττικὰ ὁμοτονεῖ τοῖς κοινοῖς, ἐξ ὧν γέγονε, κιττὸς, ὅτι κισσὸς, τριττὸς, ὅτι τρισσός.

Τὰ διὰ τοῦ τατος ὑπερθετικὰ προπαροξύνεται, καὶ ὅσα εἰς στος ὑπερθετικὰ, λαμπρότατος, σεμνότατος, κάλλιστος, κύδιστος, ἄριστος. ὁμοίως καὶ τὸ πλατάνιστος ἀπὸ τοῦ πλάτανος.

Τὰ εἰς τος ὑπερδισύλλαβα κύρια ἢ προσηγορικὰ παραληγόμενα τῷ ᾰ προπαροξύνεται, ἔλατος [12]), ὕπατος, ἄατος, θάνατος, ἔραστος τὸ κύριον, ἐραστὸς ὁ ἐπιθυμητικός.

Τὰ διὰ τοῦ ατος παρηγμένα ἢ [13]) καὶ ῥημα-

10) μαστὸς abest.

11) τὰ τοῦ ἀριθμοῦ.

12) ἔλατος.

13) αἱ pro ἢ.

τικὰ εἰσὶν ἀπὸ τῶν εἰς μι ληγόντων, ἢ ἀπὸ δευτέρας συζυγίας τῶν περισπωμένων προπαροξύνονται, μέσατος, πύματος, ὀγδόατος, τρίτατος, τέταρτος, νέατος. τὸ μέντοι ἐρατὸς, ἐλατὸς, ὀξύνεται. ὡσαύτως δὲ ὀξύνεται καὶ τὰ ἀπὸ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων μακρὸν ἔχοντα τὸ ᾱ, περατὸς, θεατὸς, φρατὸς, ἰατός.

Τὰ εἰς τος τρισύλλαβα παραληγόμενα τῷ ᾱ, κύρια ὄντα καὶ προσηγορικὰ, προπαροξύνεται, μέγιστος, πέλετος, ἔχετος, δέρκετος, μένετος τὸ κύριον, μενέτος τὸ ἐπίθετον. τούτοις ἠκολούθησε καὶ τὸ ἔμετος, ὡς ἔχον ᾱ ὥσπερ τὰ ἄνω. τὰ δὲ ἔχοντα ᾱ ὁμοίως, ἄργετος, ἄρετος, ἄνετος, ἀνετὸς δὲ τὸ ἐπίθετον, πάγετος, ὅπερ ὀξύνει ἡ συνήθεια. ἔτι ὀξύνεται καὶ τὸ νιφετὸς, ὑετὸς, καὶ τὸ αἰετός.

Τὰ διὰ τοῦ ετος τρισύλλαβα προσηγορικὰ ἢ ἐπιθετικὰ ὀξύνεται, εἰ μὴ παρωνύμως τετύπωται, κοπετὸς, πυρετὸς, τοκετὸς, συρφετὸς, ἀφυσγετὸς, ἡ ἀκαθαρσία. τὸ μέντοι ἄσχετος, ἄσπετός, γονύπετος ὁ χαῦνος, προπαροξύνεται.

Τὰ εἰς τος κύρια ἢ ἐπίθετα παραληγόμενα τῷ η μονογενῆ βαρύνονται· εἴ (sic) [14]) προπαροξύτονα, ἄρητος, δάμητος, μέλητος, βύνητος, εἶδος ἱματίου παρ' αἰγυπτίοις, τρύγητος ὁ καιρὸς μονογενῶς, τρυγητὸς δὲ τὸ τρυγόμενον. τοιοῦτον καὶ τὸ ἄμητος καὶ ἀμητός. τὸ δὲ ἐψητὸς [15]), λα-

14) εἴτε pro εἰ.

15) ἑψητός.

λητος, ὀξύτονα καὶ ἐπιθετικά· καὶ τὸ ἀλαλητὸς ἀπὸ τοῦ λαλητὸς προσθέσει ᾱ.

Τὰ εἰς τος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῷ η ἁπλῷ τριμενῆ ὀξύνεται, δωρητὸς, ἀσκητὸς, κοσμητὸς, ἀγαπητὸς, ὠνητός. τὸ δὲ ἄῤῥητος, ἄκλητος, ἄητος ὁ ἀκατάπαυστος ἀπὸ τοῦ ἔτος, προπαροξύνεται.

Τὰ εἰς τος ὑπὲρ δύο συλλαβὰς ἀρσενικὰ παραληγόμενα τῷ ι μὴ ὄντα ἐπιθετικὰ βαρύνονται, κοβάρβιτος, δάριτος[16]), δήϊτος, ἄρκιτος. τὰ δὲ θηλυκὰ ὀξύνεται, ἁμαξιτὸς, ἀτραπιτὸς, λαχνιτὸς, ἡ πόλις, δηριτός.

Τὰ εἰς τος τρισύλλαβα, ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ὁ καταλήγουσαν, σπάνιά εἰσιν, ὠνοτὸς, μωλοτός. τὸ μέντοι εὔροτος καὶ βίοτος προπαροξύνεται.

Τὰ εἰς τος ὑπερδισύλλαβα παραληγόμενα υ βραχεῖ, κύρια ὄντα βαρύνεται, ἔρυτος, ἄνυτος, αἴπυτος, ὄρνυτος. πρόσκειται κύρια διὰ τὰ τριογενῆ ἁπλᾶ ὄντα, ἃ ὀξύνεται, φορυτὸς, πινυτός. τὸ δὲ ἄλυτον σύνθετον προπαροξύνεται[17]). τὰ δὲ ἔχοντα ἐν τῇ πρώτῃ ᾱ στερητικὸν προπαροξύνεται, ἄγνωτος, ἄτρωτος, ἄπτωτος· καὶ ἔτι τὰ σύνθετα, ἀνακινδίμευτος, ἄνευ ἀκίδος, ἀπύργωτος, πολύγνωτος, ἀκηλίδωτος.

---

16) δήριτος.

17) προπαροξύνεται, ὑπερβαῖνον τὴν τρισυλλαβίαν. Τὰ εἰς τος τρισύλλαβα παραληγόμενα τῷ ω ὀξύνεται, περνωτὸς, τορνωτὸς, χρυσωτὸς, βοιωτὸς, μυωτὸς, εἶδος χιτῶνος, ἀλωτὸς, τὸ δορυάλωτος σύνθετον προπαροξύνεται. τὰ δὲ ἔχοντα π. τ. λ.

Τὰ εἰς τος ὑπερδισύλλαβα κύρια, καὶ ἔννοιαν συνθέσεως ἔχοντα, καὶ ἔτι τὴν παραλήγουσαν εἰς ἀμετάβολον καταλήγουσαν βαρύνεται, εἰ μὴ διαστολή τις γένοιτο, ἁλίαρτος, ἄψυρτος, ἄσφαλτος, ἀμάραντος τὸ κύριον, τὸ ἐθνικὸν ὀξύνεται. ὀξύνεται δὲ τὰ πρὸ τέλους εν ἔχοντα, λομεντὸς, λαυρεντὸς, σικελικαὶ πόλεις. ἔτι ὀξύνεται καὶ τὸ κονιορτὸς καὶ κολοσυρτὸς σύνθετα ὄντα. τὰ μέντοι ἐπιθετικὰ ὀξύνεται, ἱμερτὸς, ἡγερτὸς, ὑφαντός.

Τὰ εἰς τος ἁπλᾶ ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ τ φιλὸν κατ' ἐπιπλοκὴν ἐπιθετικὰ ὄντα καὶ ῥηματικὰ ὀξύνεται, ἑλικτὸς, ἀμελητὸς [18]), χαρακτὸς, ὀρεκτός. τὸ μέντοι ἄγυπτος καὶ πάραπτος καὶ ναύπαπτος, μὴ ὄντα ῥηματικὰ προπαροξύνονται. σεσημείωται τὸ δρυφαντὸς ὀξυνόμενον, ἡ θύρα τοῦ δικαστηρίου, ἣ καὶ κιγκλίδες καλοῦνται.

Τὰ εἰς στος κύρια ἀρσενικὰ μόνως βαρύνεται, ἄκαστος, ἄλαστος, ἤφαιστος.

Τὰ δὲ προσηγορικὰ ὀξύνεται, ἀγοστὸς, οἰστός.

Τὰ εἰς στος ἐπιθετικὰ ἁπλᾶ ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, λῃστὸς, μεριστὸς, ὀνομαστός. τὰ δὲ σύνθετα προπαροξύνεται, φραστὸς ἄφραστος, ἁλίαστος, ἄλαστος ὁ ἄδικος ἀπὸ τοῦ λαμβάνω. ὡσαύτως καὶ τὰ ὑπερθετικὰ, τάχιστος, ἄριστος, κάλλιστος, μεθ' ὧν καὶ ἕκαστος.

Τὰ εἰς στος ὑπερδισύλλαβα παραλήγόμενα ο,

18) ἁμελητὸς.

ἐπὶ ποσότητος τασσόμενα, ὀξύνεται, πολλοστὸς, εἰκοστὸς, τριακοστὸς, πεντηκοστός.

Τὰ εἰς τος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῇ ευ διφθόγγῳ ἁπλᾶ ὄντα ὀξύνεται, τορνευτὸς, στρατευτὸς, βουλευτός. τὸ δὲ ἀστράτευτος σύνθετον.

Τὰ διὰ τοῦ ουτος προπαροξύνεται, τηλικοῦτος, τοιοῦτος, τοσοῦτος.

Τὰ εἰς τος ὑπερδισύλλαβα τῇ αυ διφθόγγῳ παραληγόμενα προπαροξύνεται, ἄπαυστος, ἄθραυστος, ἄπλαυστος. σεσημείωται τὸ ἐναυτὸς ὀξυνόμενον.

Τὰ εἰς φος δισύλλαβα πύρια ἢ προσηγορικὰ βαρύνεται, εἰ μὴ παραλήγοι τῷ υ βραχεῖ, ἢ εἰς τὸ λ τοπικὰ, πάφος, τάφος, σόφος τὸ κύριον, σοφὸς δὲ τὸ ἐπίθετον, ὄρφος ἀδινῶς, ὀρφῶς (sic) δὲ ἀπτικῶς. τὸ δὲ κρυφὸς καὶ στυφὸς ἔχει τὸ υ βραχύ. τὸ δὲ κῦφος τὸ κυ μακρόν. τὸ δὲ ἀλφὸς τὸ σωματικὸν πάθος, καὶ πολφὸς ὄψον τι, ἔχουσι τρὶ λ. τὰ δὲ ἐπίθετα ὀξύνεται, σοφὸς, στυφὸς, κωφός. τὸ δὲ κοῦφος προπερισπᾶται.

Τὰ εἰς φος ὑπερδισύλλαβα ἁπλᾶ μὴ δηλοῦντα ἐνέργειαν προπαροξύνεται, κρόταφος, ἔλαφος, ἔπαφος, κόλαφος, ἀσκάλαφος, ἄργυφος ὁ λευκός. τὸ δὲ ἀδελφὸς ὀξύνεται, καὶ τὰ ἐνέργειαν δηλοῦντα παροξύνεται, πορφυροβάφος, ὑποδηματοράφος καὶ ἱπποτρόφος.

Τὰ εἰς χος δισύλλαβα μὴ ὄντα ἐπιθετικὰ βαρύνεται, κόλχος, βρόγχος, μόσχος, κόχλος, τρό-

χος ὁ τόπος ἐν ᾧ τρέχουσι, τραχὺς δὲ ὁ κύκλος, βρόχος. σεσημείωται τὸ μυχὸς ὁ ἐνδότερος τόπος. τὸ δὲ μοιχὸς, πτωχὸς, ἀρχὸς, ἐπιθετικὰ ὄντα ὀξύνεται.

Τὰ εἰς χος ὑπερδισύλλαβα προπαροξύνεται, στόμαχος, βάτραχος, σωτήριχος, δόλιχος τὸ ὄψριον, δολιχὸς δὲ ὁ μακρός. τὸ δὲ μοναχός.

Τὰ εἰς ψος δισύλλαβα ἐπιθετικὰ βαρύνεται, μόψος, γύψος, τίψος, τάψος εἶδος ξύλου. τὰ δὲ ἐπιθετικὰ πρὸ τοῦ ψ ἔχοντα μ ὀξύνεται, κομψὸς, χαμψός.

Τὰ εἰς ψος ὑπερδισύλλαβα ὀξύνεται, καλαψὸς, κινδαψὸς, χορδαψός.

Τὰ εἰς ος λήγοντα οὐδέτερα ὀνόματα ἀεὶ βαρύνεται, τεῖχος, βέλος, πάθος, πέλαγος, ὕψος. αἱ δὲ μετοχαὶ οὐδέτεραι ὀξύνονται, τετυφὸς, πεποιηκὸς, γεγραφὸς, ὥσπερ καὶ αἱ ἀρσενικαί.

Περὶ τόνου τῶν συντιθεμένων ὀνομάτων.

Βιβλίον δ'.

Περὶ τῶν εἰς ος.

Τὰ εἰς ος σύνθετα προπαροξύνεται, φιλαλέξανδρος, φιλάνθρωπος, εὐστέφανος.

Τὰ ἀπὸ τῶν εἰς ος παροξυτόνων προπαροξύνεται, νόος ἀλκίνοος, πόντος ἑλλήσποντος, φίλος δίφιλος. τὸ δὲ ἀστρολόγος καὶ οἰκονόμος οὐ παρὰ

Τὰ παρὰ τὸ ἄγω καὶ πηγνύω [20]) ὀξύνεται, φορτηγὸς, στρατηγὸς, νυνηγὸς, ναυπηγός [21]).

Ἔτι τὰ παρὰ τὸ φέρβω καὶ ἀσπῶ, ἱπποφορβὸς, φωνασκός. τὸ δὲ αὐτόφορβος οἱ πλείους βαρύνουσι, καὶ τὸ ἄφορβος κύριον.

Τὰ ἀπὸ ῥήματος κύρια προπαροξύνονται, ἱππάδαμος, δηΐφοβος, λαόδοκος. τὸ μέντοι ξεινοδόκος οὐ κύριον.

Τὰ παρὰ τὸ φέρω παροξύνεται, τελεσφόρος, ὁδορυφόρος, βουληφόρος, ἑωσφόρος.

Τὸ μέντοι ἄφορος, δίφορος, ἀπὸ τοῦ φορά.

Ὅσα πρόθεσιν ἔχει ἐν τῇ ἀρχῇ, προπαροξύνεται, περίβολος, ὑπέρβολος, ἀμφίβολος, πρόβολος. τὸ δὲ ἐπεσβόλος παροξύνεται ἀπὸ τοῦ ἔπεσι βάλλειν. καὶ χωρὶς τῶν ἀπὸ κλειτὸς καὶ κλυτός. τὸ δὲ περικλυτὸς ὀξύνεται, καὶ τὰ παρὰ τὸ ἔργον, ὑπουργὸς, συνεργός.

Τὰ παρὰ τὸ βάλλειν σύνθετα καὶ μὴ παρὰ πρόθεσιν παροξύνονται, λιθοβόλος ὁ βάλλων λίθους· λιθόβολος δὲ ὁ ὑπὸ λίθων βαλλόμενος. τὸ δὲ πρόβολος καὶ ἀμφίβολος ἀπὸ προθέσεων.

Τὰ παρὰ τὸ πωλῶ τὸ ἀναστρέφομαι σύνθετα καὶ μὴ παρὰ πρόθεσιν παροξύνονται, ἱπποπόλος, οἰωνοπόλος. τὸ δὲ ἀμφίπολος ἐκ προθέσεως.

Τὰ παρὰ τὸ σκοπῶ σύνθετα μὴ ἐκ προθέσεως παροξύνεται, ὀρνιθοσκόπος, οἰωνοσκόπος. τὸ δὲ ἐπίσκοπος, κατάσκοπος, ἀπὸ προθέσεων.

---

20) πήσσω pro πηγνύω.

21) ναυπηγός. Ἔτι τὰ παρὰ τὸ ποιῶ ὀξύνεται, ἀργοποιός, ἐποποιός.

Ἔτι τὰ παρὰ τὸ φέρβω κ. τ. λ.

νωπὸς, πυθμένος ἀπύθμενος, λιμένος ἀλίμενος, μηνὸς δίμηνος, τρίμηνος, πατρὸς ἀντίπατρος, χάριτος ἀχάριτος, θέμιτος ἀθέμιτος.

Τὰ εἰς ος συντεθειμένα ἀπὸ τῶν εἰς α καὶ εἰς η προπαροξύνεται, ἑστία ἐφέστιος, σκιὰ εὔσκιος, μοῦσα φιλόμουσος, χρεία ἄχρειος τὸ κοινὸν, ἀχρεῖος δὲ τὸ ἀττικὸν, ὡς ἀστεῖος, ἀρχὴ ταξίαρχος, φωνὴ ἄφωνος, μορφὴ πολύμορφος. τὸ δὲ ἱππομάχος καὶ ἱπποκόμος ἀπὸ ῥημάτων, καὶ τὸ γηροκόμος, καὶ τὸ καραβὸς ἀπὸ τοῦ κάρη γέγονε. τούτῳ ἠκολούθησε τὸ μανδαρὸς καὶ πλαδαρὸς ὁ ἀσθενής. τὸ δὲ ἀθῶος προπερισπᾶται ἀπὸ τοῦ θωή.

Τὰ εἰς ος σύνθετα ἀπὸ τῶν εἰς ον οὐδετέρων ἢ ος ἢ α προπαροξύνεται, δῶρον βοτρυόδωρος, τόξον κλυτότοξος, ξίφος ἄξιφος, ὄνομα ἐπώνυμος, διώνυμος.

Τὰ εἰς ος συντεθειμένα παρὰ τὸ ἔργον μὴ ὄντα κύρια ὀξύνεται, ἐλεφαντουργὸς, αὐτουργός. τὸ μέντοι κακοῦργος καὶ πανοῦργος βαρύνεται, ὁμοίως καὶ τὸ ἐκάεργος, περίεργος, πολύεργος, πάρεργος. τὰ δὲ ὄντα κύρια βαρύνεται, λυκοῦργος, φιλοῦργος.

Περὶ τῶν παρὰ τὸ ῥῆμα συντεθειμένων.

Τὰ παρὰ τὸ βόσκω ὀξύνονται, πορνοβοσκὸς, ὑοβοσκὸς, χηνοβοσκός.

Ὅσα παρὰ τὸ ἕλκω καὶ ἀμέλγω, ὀξύνεται, γαμουλκὸς, ἀμολγός.

Τὰ παρὰ τὸ ἄγω καὶ πηγνύω [20]) ὀξύνεται, φορτηγὸς, στρατηγὸς, νυνηγὸς, ναυπηγός [21]).

Ἔτι τὰ παρὰ τὸ φέρβω καὶ ἀσπῶ, ἱπποφορβὸς, φωνασκός. τὸ δὲ αὐτόφορβος οἱ πλείους βαρύνουσι, καὶ τὸ ἄφορβος κύριον.

Τὰ ἀπὸ ῥήματος κύρια προπαροξύνονται, ἱππόδαμος, δηΐφοβος, λαόδοκος. τὸ μέντοι ξεινοδόκος οὐ κύριον.

Τὰ παρὰ τὸ φέρω παροξύνεται, τελεσφόρος, ὁδορυφόρος, βουληφόρος, ἐωσφόρος.

Τὸ μέντοι ἄφορος, δίφορος, ἀπὸ τοῦ φορά.

Ὅσα πρόθεσιν ἔχει ἐν τῇ ἀρχῇ, προπαροξύνεται, περίβολος, ὑπέρβολος, ἀμφίβολος, πρόβολος. τὸ δὲ ἐπεσβόλος παροξύνεται ἀπὸ τοῦ ἔπεσι βάλλειν. καὶ χωρὶς τῶν ἀπὸ κλειτὸς καὶ κλυτός. τὸ δὲ περικλυτὸς ὀξύνεται, καὶ τὰ παρὰ τὸ ἔργον, ὑπουργὸς, συνεργός.

Τὰ παρὰ τὸ βάλλειν σύνθετα καὶ μὴ παρὰ πρόθεσιν παροξύνονται, λιθοβόλος ὁ βάλλων λίθους· λιθόβολος δὲ ὁ ὑπὸ λίθων βαλλόμενος. τὸ δὲ πρόβολος καὶ ἀμφίβολος ἀπὸ προθέσεων.

Τὰ παρὰ τὸ πωλῶ τὸ ἀναστρέφομαι σύνθετα καὶ μὴ παρὰ πρόθεσιν παροξύνονται, ἱππικόπολος, οἰωνοπόλος. τὸ δὲ ἀμφίπολος ἐκ προθέσεως.

Τὰ παρὰ τὸ σκοπῶ σύνθετα μὴ ἐκ προθέσεως παροξύνεται, ὀρνιθοσκόπος, οἰωνοσκόπος. τὸ δὲ ἐπίσκοπος, κατάσκοπος, ἀπὸ προθέσεων.

---

20) πήσσω pro πηγνύω.

21) ναυπηγός. Ἔτι τὰ παρὰ τὸ ποιῶ ὀξύνεται, ἁγιοποιός, ἐποποιός.

Ἔτι τὰ παρὰ τὸ φέρβω κ. τ. λ.

Τὰ παρὰ τὸ μάχομαι καὶ μὴ παρὰ πρόθεσιν παροξύνεται, λεοντομάχος, μονομάχος, χωρὶς τοῦ ἀγχέμαχος. τὸ δὲ πρόμαχος καὶ σύμμαχος ἐκ προθέσεων.

Τὰ παρὰ τὸ ἀγορῶ μετὰ προθέσεως σύνθετα προπαροξύνεται, συνήγορος [22]).

Ὅσα ἐν τῇ ἀρχῇ συντίθεται ἐκ τοῦ πολύ, προπαροξύνεται, πολύστροφος, πολύκαρπος, πολύφιλος. τὸ μογγιλάλος παροξύνεται· οὐ γὰρ παρὰ τὸ πολύ.

Τὰ παρὰ τὸ φαγεῖν [23]) ἐν τῷ τέλει συντεθειμένα παροξύνεται, εὔτοκος, εὔτονος, εὔμολπος, χωρὶς τῶν παρὰ τὸ ἔργον, εὐεργός.

Ὅσα ἀπὸ τοῦ ἀ στερητικοῦ μορίου συντίθεται, προπαροξύνεται, ἄτολμος, ἄτομος, ἄστοργος.

Ὅσα ἐν ἀρχῇ ἔχει τὸ φιλεῖν, προπαροξύνεται, φιλόπονος, φιλόσοφος, φιλόλογος.

Τὰ παρὰ τὸ λέγω, χωρὶς τῶν παρὰ τὸ φιλεῖν, παροξύνεται, δικαιολόγος, φυσιολόγος, τεθρατολόγος. τὸ δὲ φιλόλογος ἀπὸ τοῦ λόγος καὶ φιλῶ.

Τὰ παρὰ τὸ δυς, ζα μόρια προπαροξύνεται, καὶ τὸ εὐρύπορος προπαροξύνεται, δύσμορφος, δύστηνος, ζάπλουτος, ζάητος, ζάθεος.

Τὰ παρὰ τὸ ωκυς προπαροξύνεται, ὠκύμορος, ὠκύπορος. τὸ δὲ ποντοπόρος παροξύνεται, καὶ τὸ εὐρύπορος προπαροξύνεται· οὐ γὰρ ἀπὸ τοῦ ὠκύς. σεσημείωται τὸ ὠκυμάχος.

---

22) οὐ γὰρ ἀπὸ προθέσεως pro συνήγορος.

23) sic.

Ὅσα ἔχει κατὰ ἀρχὴν τὸ ναυ, προπαροξύνεται, ναύαρχος, ναύκληρος, ναύλοχος. τὸ δὲ ναυπηγὸς, ναυηγὸς, ὀξύνεται.

Ὅσα παρὰ ἐπίῤῥημα συντίθεται, προπαροξύνεται, ὀψίφυγος, ἀγχίμολος, ἀγχέμαχος. τὸ δὲ περικλυτὸς ἀπὸ τῆς περί.

Ὅσα παρὰ τὸ πάλιν καὶ ἄγαν καὶ αὐτὸ σύνθετα, προπαροξύνεται, παλίνβολος, παλίνκοτος, ἀγάννιφος, ἀγάτονος, αὐτόμαχος, αὐτοδίοδακτος.

Τὰ παρὰ τὸ ἀκούω προπαροξύνεται, ὑπήκοος, ἀνήκοος. τὸ δὲ ἐπακουὸς παρασύνθετον· γίνεται γὰρ ἐκ τοῦ ἐπακούω.

Τὰ παρὰ τὸ ἔχω βαρύνεται, ἠνίοχος, ἄοχος. προπερισπᾶται δὲ τὸ λιχνοῦχος, ῥαβδοῦχος, σταθμοῦχος.

Τὰ ἀπὸ δισυλλάβου ῥήματος, οὗ ἡ ἄρχουσα μακρὰ, συντεθειμένα προπαροξύνεται, μυκῶ, ἐρίμυκος, συλῶ, ἱερόσυλος, ἄρχω, γυμνασίαρχος.

Τὰ παρὰ τὸ τρὶς ἐπίῤῥημα ἀριθμοῦ συντεθειμένα προπαροξύνεται, τρίφορος, τρίπολος, δίφορος, μεθ' ὧν [24]) καὶ τετράφορος.

Τὰ παρὰ τὸ γράφω παροξύνεται, ἱστοριογράφος, βιβλιογράφος. τὸ δὲ ἀπαράγραφος τὸ σημεῖον τὸ ἐν τοῖς μέτροις τιθέμενον προπαροξύνεται, παρὰ τὸ γραφή [25]).

---

24) Τὰ παρὰ τὸ ις ἐπίῤῥημα ἀριθμοῦ συντεθειμένα προπαροξύνεται, δίφορος, τρίφορος, τρίπολος, μεθ' ὧν —

25) γραφὴ γάρ.

Τὰ ἐπὶ ἐνεργείας τιθέμενα συντεθειμένα ἀπὸ τοῦ τέμνω, φονεύω, ὀρύσσω, κτείνω, νέμω, τίκτω, παροξύνονται, σκυτοτόμος, μιαιφόνος, τοιχωρύχος, πατροκτόνος, οἰκονόμος. τὸ δὲ καρατόμος καὶ πρωτοτόκος παροξυνόμενα μὲν ἐπὶ ἐνεργείας τίθενται, προπαροξυνόμενα δὲ ἐπὶ πάθους.

Περὶ τόνου τῶν εἰς υς ληγόντων.

Βιβλίον ί.

Τὰ εἰς υς πολυσύλλαβα κύρια ἢ προσηγορικὰ βαρύνεται [26]), πόλτυς [27]), βότρυς, ἔρπυς, ἄλυς. τὸ ἰχθῦς προσηγορικὸν περιεσπάσθη ἀλόγως, ὥσπερ τὸ μῦς, σῦς.

Τὰ εἰς υς ἁπλᾶ ἐπιθετικὰ διὰ τοῦ ε κλινόμενα δισύλλαβα ὄντα ὀξύνεται, ἡὺς, ἡδὺς, ταχὺς, βραδὺς, ὠκύς. τὸ δὲ ἥμισυς προπαροξύνεται, καὶ τὸ θῆλυς προπερισπᾶται καὶ τὸ πρέσβυς βαρύτονον.

Πᾶν εἰς υς λῆγον σύνθετον ἐπιθετικὸν βαρύνεται, ἔπηλυς, νέηλυς, πολύδακρυς, μελάνοφρυς.

Τὰ εἰς υς ἀρσενικὰ ὑπερδισύλλαβα βαρύνεται, ἥμισυς, πέλεκυς, ῥαδάμανθυς. σεσημείωται τὸ ἐλαχὺς ὁ ἐλάχιστος βαρυνόμενον.

Τὰ εἰς υς θηλυκὰ συνεστραλμένον ἔχοντα τὸ

26) προσηγορικὰ ἢ ἐθνικὰ βαρύνεται.

27) ἄλδυς, πόλτυς.

ῡ καὶ διὰ τοῦ δος κλινόμενα ὀξύνεται, χλαμὺς, πηλαμύς. τὰ μέντοι μὴ διὰ τοῦ δος κλινόμενα βαρύνεται, γένυς, πίτυς, χέλυς, γῆρυς, ἀτράφαξυς, εἶδος λαχάνου.

Τὰ εἰς ῳς πάντα σύνθετα συνεσταλμένον ἔχοντα τὸ ῡ προπαροξύνεται, σύνοφρυς, παλλιχθυς [28]), δίβραχυς.

Τὰ εἰς ῡς θηλυκὰ ἐκτεῖνοντα τὸ ῡ ὀξύνεται, πληθὺς, ἰθὺς, οἰζὺς, ἐριννὺς, ἰξὺς ἡ φάχις. τὸ δὲ νηδὺς ποιητικῇ ἀδείᾳ [29]) συστέλλεται. σεσημείωται ἐν τοῖς θηλυκοῖς τὸ ὀφρῦς καὶ ἡ ὀσφῦς, ἡ φάχις, περισπώμενα.

Τὰ εἰς υς ὑποκοριστικὰ περισπῶνται, κλαμμῦς, κλαυσῦς, λαρθῦς, διανῦς, ἀπφῦς. τὸ δὲ ἰξῦς ποτὲ μὲν ὀξύνει ὁ ἡρωδιανὸς, ποτὲ δὲ περισπᾷ. τὸ δρῦς καὶ μῦς καὶ σῦς περισπῶνται.

Τὰ εἰς αις πολυσύλλαβα αἰολικῶς ὀξύνεται, ἀτρείδαις ἀντὶ τοῦ ἀτρείδης, ὀρέσταις, καὶ τὰ σύνθετα, ἄπαις, εὔπαις, ἀνδρόπαις. τὸ δὲ παῖς περισπᾶται, καὶ τὸ σταῖς. τὸ δὲ δαὶς ὀξύνεται.

Τὰ εἰς εις πολυσύλλαβα κοινολεκτούμενα παροξύνεται, δαφνήεις, κητώεις. αἱ δὲ μετοχαὶ ὀξύνονται, τυφθεὶς, τυπεὶς. τὸ δὲ πτεὶς ὀξύτονον, ὡς μονοσύλλαβον, καὶ τὸ πλεὶς. καὶ οἱ βοιωτοὶ τὸ ῃ τῶν εἰς ης εἰς ει τρέποντες ὀξύνουσιν αὐτὰ, εὐγενεὶς ἀντὶ εὐγενῆς, ἀγενεὶς ἀντὶ ἀγενῆς.

---

28) σύνοφρυς, λεύκοφρυς, παλλιχθυς.

29) ἐξουσίᾳ pro ἀδείᾳ.

Τὰ εἰς αυ πολυσύλλαβα βαρύνονται, χιλιόναυς, ὁμόγραυς. τὰ δὲ ἁπλᾶ περισπῶνται, γραῦς, ναῦς.

Τὰ εἰς ευς κοινῶς μὲν ὀξύνεται, βασιλεὺς, πηλεὺς, τυδεύς· αἰολικῶς δὲ βαρύνεται, ἄρευς.

Τὰ εἰς ους πολυσύλλαβα ἁπλᾶ μὲν ὄντα περισπᾶται, ἀδελφιδοῦς, ἀνεψιδοῦς, διπλοῦς, τριπλοῦς, πλὴν τοῦ ὁδούς. τὰ δὲ σύνθετα βαρύνεται, πειρίθους, ἀλκίνους, εὔπλους, παλίνους, οἰδίπους.

Τὰ εἰς ος ἄρσενικὰ, περιττοσύλλάβως κλινόμενα καὶ διὰ παθαροῦ τοῦ ος, βαρύνονται, ἥρως, μίνως, πάτρως, μήτρως. ος

Τὰ εἰς ως ἁπλᾶ διὰ τοῦ τος κλινόμενα, εἰ μακρᾷ παραλήγοι μετοχικὰ ὄντα, ὀξύνεται, εὐρὼς, ἰδρὼς, ἀραρὼς, ὑπερδεδιώς. εἰ δὲ ἰαμβικὰ ὑπάρχοι διὰ τοῦ τος κλινόμενα, βαρύνεται, γέλως, ἔρως, νέπως. τὸ δὲ εἴλως ἀπὸ τοῦ ἕλους.

Τὰ ἀπὸ παρακειμένου συντεθέντα διὰ τοῦ τος κλινόμενα ὀξύνεται, ἀπτὼς, ἀγνώς.

Τὰ εἰς ως σύνθετα ἀπὸ τῶν εἰς ως μονοσυλλάβων παροξύνεται, ζωὸς ἀείζωος (sic) [30], χρώς λευκόχρως. τὸ μέντοι ὑποδμὼς ὀξύνεται ὡς παρέλκουσαν ἔχον τὴν ὑπό.

Τὰ εἰς ως σύνθετα πολυσύλλαβα ἀπὸ τῶν εἰς ως παροξύνεται, ἔρως χρυσέρως, ἰδρὼς λυσίδρως.

30) ἀείζωος.

τὸ δὲ δύσερως καὶ φιλόγελως, καὶ τὰ τοιαῦτα, ἀττικὰ ὄντα προπαροξύνονται.

Τὰ εἰς ω̄ς ἀττικὰ ὁμοτονοῦσιν ἐκείνοις, ἀφ' ὧν ἐσχηματίσθησαν, ναὸς, νεὼς, λαὸς, λεὼς, ἀξιόχρεος, ἀξιόχρεως. τὸ δὲ λαγῶς καὶ ὀρφῶς περισπῶνται, καὶ ὁ τυφῶν καὶ ταῶν.

Τὰ εἰς ω̄ς περσικὰ ἢ αἰγύπτια παροξύνεται, φάργως, ἰνάρως.

Τὰ εἰς ω̄ς θηλυκὰ πολυσύλλαβα βαρύνεται λομὲν, ὅσα βραχέα παραλήγει, κέως, τέως, ἄλως, ἕως. τὰ δὲ μὴ οὕτως ὀξύνεται, αἰδὼς, ἠώς.

Τὰ εἰς ψ̄ πολυσύλλαβα βαρύνεται, ἄρπαψ, λεπίλαψ, ψόραψ. τὸ δὲ πλινθοβὰψ καὶ πελεκοβὰψ ὀξύνεται.

Τὰ εἰς ψ̄ πολυσύλλαβα ἔχοντα πρὸ τοῦ ψ̄ ο̄ ἢ ε̄ βαρύνεται, πέλοψ, θρύοψ, μέροψ, βούκλεψ, τυρόκλεψ.

Τὰ εἰς ψ̄ ἔχοντα ῐ̄ πρὸ τοῦ ψ̄ βαρύνεται, σκευότριψ, παιδότριψ, χέρνιψ.

Τὰ εἰς υψ̄ βαρύνεται, κίνυψ, χάλυψ.

Τὰ εἰς ηψ̄ βαρύνεται, σκώληψ.

Τὰ εἰς ωψ̄ πολυσύλλαβα κύριον ὄντα ἢ προσηγορικὰ βαρύνονται, κύκλωψ, ἴωψ, μώλωψ. σεσημείωται, ὡς τινές φασι, τὸ εὐρὼψ ὀξυνόμενον, τὰ μέντοι ἐπιθετικὰ ὀξύνεται, ὑπεσταλμένων τῶν ὑποπεπτωκότων κυρίοις, ἢ τῶν ἰδιαζόντων, μονὼψ ὁ μονόφθαλμος, κελαινὼψ, τυφλώψ. τὸ δὲ ἐλίκωψ καὶ μύωψ, ὁ μυὸς ὀφθαλμοὺς ἔχων, βαρύνε-

ται, ὥσπερ τὸ κύκλωψ καὶ κέκρωψ ὁ δόλιος, καὶ ἴωψ ὁ κυνικός.

Περὶ τόνου τῶν εἰς ᾱ θηλυκῶν ὀνομάτων.

Βιβλίον ιά.

Τὰ εἰς ᾱ λήγοντα μακρὸν θηλυκὰ τῶν εἰς ᾱς ὁμοτονοῦσιν αὐτοῖς, καὶ ἔτι τὰ εἰς η, φοβερὸς, φοβερὰ, ἰσχυρὸς, ἰσχυρὰ, σοφὸς, σοφὴ, καλὸς, καλὴ, φίλος, φίλη. τὸ μέντοι βαρύτερος, βαρυτέρα, καὶ τὰ ὅμοια, εἰ καὶ τὸν τόπον ἐνήλλαξαν, ἀλλ' οὐ τὸν τόνον.

Τὰ εἰς ᾱ μακρὸν καὶ εἰς η τῶν εἰς ους περισπωμένων περισπᾶται, ἀργυροῦς, ἀργυρᾶ, χρυσοῦς, χρυσῆ, διπλοῦς, διπλῆ.

Τὰ ἔχοντα τὸ ᾱ βραχὺ διὰ τοῦ τρια προπαροξύνεται, αὐλήτρια, ψάλτρια. τὸ δὲ μετρία καὶ ἀλλοφρία τὸ ᾱ μακρὸν ἔχουσι. καὶ τὸ πότνια καὶ ὄπνια προπαροξύνεται.

Τὰ εἰς εια ἀπὸ τῶν εἰς ευς προπαροξύνεται, βασιλεὺς, βασίλεια, ἱερεὺς, ἱέρεια.

Ἔτι τὰ ἀπὸ τῶν εἰς υς βαρυτόνων προπαροξύνεται, ἥμισυς ἡμίσεια, θῆλυς θήλεια. τὰ μέντοι ἀπὸ ὀξυτόνων προπερισπῶνται, ταχὺς ταχεῖα, βραδὺς βραδεῖα, πλὴν τοῦ λίγεια καὶ ἐλάχεια ἀπὸ τοῦ λιγύς καὶ ἐλαχύς.

Τὰ εἰς να συνεσταλμένον ἔχοντα τὸ ᾱ ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ σχηματιζόμενα προπαροξύνεται, μέλανος μέλαινα, τάλανος τάλαινα, δράκων δράκαινα.

Ἔτι τὰ εἰς ρα βραχὺ παρεσχηματισμένα, σωτὴρ σώτειρα, μάκαρ μάκαιρα.

Τὰ εἰς σα ὑπερδισύλλαβα παρεσχηματισμένα προπαροξύνεται, εἰ μὴ κατὰ συναλοιφὴν εἴη ἀπὸ ὀξυτόνων εἰς ης, δαφνήεσσα, φωνήεσσα. τὸ δὲ τεχνῆσσα ἀπὸ τοῦ τεχνήεσσα. καὶ τὰ ἀπὸ ὀξυτόνων εἰς ησσα, χερνὴς χερνῆσσα, ἁρπῆς ἁρπῆσσα, κρὴς κρητὸς κρῆσσα, θὴς θῆσσα.

Τὰ εἰς ᾰ βραχὺ ἀπαρασχημάτιστα διὰ διπλοῦ ἐκφερόμενα, εἰ μὲν δισύλλαβα εἴη καὶ μακρᾷ παραλήγει, παροξύνεται, ῥίζα, πέζα, φύζα, δόξα, δίψα. τὰ δὲ ὑπερδισύλλαβα προπαροξύνεται, ἄμαξα, λακέρυζα.

Τὰ εἰς θα ἔχοντα τὸ ᾰ βραχὺ βαρύνεται, μίνθα τὸ ἡδύσμον, ἄκανθα, κολόκυνθα, ἡ ἀττικῶς κολοκύντη, μεθ' ὧν καὶ ἡ δίαιτα.

Τὰ εἰς μα θηλυκὰ σπάνια ὄντα βαρύνεται, τόλμα, θέρμα, ἀττικῶς δὲ τόλμη καὶ θέρμη.

Τὰ εἰς λα θηλυκὰ σπάνια ὄντα βαρύνεται, ψύλλα, σκύλλα, σιβύλλα, ἄμιλλα, ἀέλλα, καὶ ἀνάπαυλα.

Τὰ εἰς να μονογενῆ βαρύνεται, κύννα ἡ πόρνη, ἄννα, γέννα, χλαῖνα, εἰ μὴ κατὰ πάθος γένοιτο, ἀθηνᾶ, μηνᾶ. τὰ δὲ ἰταλικὰ προπερισπῶνται, σαβῖνα, φαυστῖνα, ἰουστῖνα, κωνσταντῖνα.

Τὰ εἰς ρα δισύλλαβα συνεσταλμένον ἔχοντα τὸ ᾰ βαρύνεται, σφαῖρα, μοῖρα, πεῖρα, σφύρα. τὰ δὲ μὴ συνεσταλμένον τὸ ᾰ ἔχοντα ὀξύνεται,

ἠρὰ ἡ ἐκκλησία, σειρὰ, πυρὰ, οὐρὰ, φρουρὰ, πλευρά.

Τὰ εἰς ρα ὑπὲρ δύο συλλαβὰς τὸ α βραχὺ ἔχοντα προπαροξύνεται, ἄρουρα, ἄργουρα[31]), μάχαιρα, χίμαιρα, δηϊάνειρα, σκολόπενδρα.

Τὰ εἰς ρα ὑπὲρ δύο συλλαβὰς πρὸ τέλους ἔχοντα τὸ υ βαρύνεται, πορφύρα, ἐφύρα.

Τὰ εἰς ρα ὑπὲρ δύο συλλαβὰς βραχὺ ἔχοντα τὸ α, καὶ πρὸ τέλους ἔχοντα ου προπαροξύνεται, ἄρουρα, ἄργουρα, κυνόσουρα, μεθ' ὧν καὶ τὸ κέρκυρα, γέφυρα.

Τὰ εἰς σσα ὑπερδισύλλαβα ἀπαρασχημάτιστα προπαροξύνεται, εἰ μὴ παραλήγοι ου, θάλασσα, ἰφιάνασσα, θέρμασσα, ἡ κάμινος. τὰ δὲ παραλήγοντα τῇ ου, εἰ μὲν ἔχοιεν ἓν σ, προπαροξύνεται, φαέθουσα, ἀρέθουσα, αἴθουσα· εἰ δὲ δύο ἔχοιεν, προπερισπῶνται, πιτνοῦσα, ῥοδοῦσα[32]), ὀνόματα ἵππων, πλὴν τοῦ ἐμπουσα καὶ συράκουσα[33]).

Τὰ εἰς σα δισύλλαβα βαρύνεται, αἶσα, μοῦσα, πεῖσα ἡ πειθὼ, μεθ' ὧν γλῶσσα, πίσσα, νύσσα.

Τὰ διὰ τοῦ αια καὶ υια δισύλλαβα προπερισπᾶται, μαῖα, γαῖα, θυῖα, μυῖα.

Τὰ εἰς ᾱ συνεσταλμένον μονογενῆ ὑπὲρ δύο συλλαβὰς παραλήγοντα τῇ αι διφθόγγῳ, ἢ τῇ ει

31) ἄρουρα, ἄργουρα absunt.

32) πιτνοῦσα, ῥοδοῦσα.

33) ἔμπουσα καὶ συράκουσα.

ἡ οι ἡ η, προπαροξύνεται, πλάταια, ἀλεξάνδρεια, θέσπεια· θεσπειαὶ δὲ τὸ πληθυντικόν· εὔνοια, πρόνοια, ἄρπυια, αἴθυια, ὄργυια [34]), ἃ πληθυντικῶς ὀξύνεται. τὰ δὲ μητρυιὰ μακρὸν ἔχον τὸ α δοξύνεται.

Τὰ διὰ τοῦ αια μονογενῆ μακρὸν ἔχοντα τὸ ᾰ παροξύνονται, σεληναία, ἀθηναία, ἰουδαία, περικεφαλαία, θηροαῖα [35]).

Τὰ εἰς ᾱ καθαρὸν μονογενῆ παραληγόμενα ε βαρύνεται, εἰ μὴ προσηγορικὰ ἢ περιεκτικὰ εἴη, ῥέα, θέα, τὸ δὲ θεὰ ὀξύνεται, πτελέα, ἰτέα, συκέα.

Τὰ εἰς ᾱ μακρὸν μονογενῆ, τῇ ει ἢ τῷ ι μακρῷ παραληγόμενα ἐπὶ οὐσίας τιθέμενα ὀξύνεται, χρειὰ, ζειὰ, εἶδος κριθῆς, φλιὰ, θριὰ, τὸ δὲ μνεία, χρεία βαρύνονται, οὐ γὰρ ἐπὶ οὐσίας λαμβάνεται, καὶ τὸ λεία δὲ καὶ φθία βαρύνονται, καὶ τὸ δεῖα ἡ ἔνδεια.

Τὰ διὰ τοῦ ια ἐπὶ χωρῶν κείμενα παροξύνεται, λυκία, ᾱσία, κιλικία.

Τὰ γινόμενα ἀπὸ ευω παροξύνεται, ἑρμηνεία, βασιλεία, δουλεία, κολακεία, παιδεία ἡ παίδευσις· παιδιὰ δὲ τὸ παίγνιον. τὸ δὲ παρειὰ καὶ φορβειὰ καὶ φορειὰ ὁ βόρβορος, καὶ ἀρειὰ [36]) ἡ ἀπειλὴ, ὀξύνονται· οὐ γὰρ ἀπὸ τῶν διὰ τοῦ ευω.

---

34) αἴθυια, ἄγυια, ὄργυια.

35) θηροαῖα abest.

36) τὸ δὲ παρειὰ καὶ φορειὰ τὸ βοῦρκος, καὶ ἀρειὰ κ. τ. λ.

Τὰ διὰ τοῦ ια *μακρὸν τὸ* α *ἔχοντα παροξύνεται, ἀνία, φιλία, πενία, ξενία.*

Τὰ διὰ τοῦ ια *παρὰ μελλόντων γενόμενα παροξύνεται, ὀρέξω ἀνορεξία, πέψω ἀπεψία, προδωσία προδωσία.*

Τὰ διὰ σια *τὸ* α *μακρὸν ἔχοντα βαρύνεται, ἀθανασία, δισχοστασία, ἱκεσία. εἴ τι δὲ ὀξυνθῇ, ὄνομα δήμου ἔχοι, ἢ περιεκτικὸν ὑπάρχοι. τὸ δὲ προστασιὰ καὶ πρασιὰ ὁ τόπος, καὶ αἱμασιὰ* [37]*, ὡς ἔννοιαν περιεκτικῶν ἔχοντα ὀξύνεται. τὸ δὲ κηφισιὰ καὶ οἰσιὰ καὶ λουσιὰ ὀνόματα δήμων.*

Τὰ διὰ τοῦ νια *μακρὸν ἔχοντα τὸ* α *βαρύνεται, μονία, πενία, γειτονία. τὸ δὲ ῥοδρνιὰ καὶ ἰωνιὰ περιεκτικὴν τοπικὴν ἔννοιαν δηλοῖ· καὶ τὰ χελιδωνιὰ δῆμος· καὶ ἔτι τὸ ἰμονιὰ παρ' ἀττικοῖς ὀξύνεται, δηλοῖ τὸ ἀντλητήριον.*

Τὰ εἰς α *μακρὸν* [38] *παραληγόμενα τῇ* λι, *ἧς προηγεῖται* α, *βαρύνεται, πρᾶγμα σημαῖνον, διδασκαλία, ἀτασθαλία, ἢ ὀνόματα χωρῶν, οἰχαλία, θεσσαλία· εἰ δὲ μὴ οὕτως, ὀξύνεται, ἀμυγδαλιὰ, φυταλιά. τὸ δὲ ἀσπαλία ἢ ἀλεία βαρύνεται.*

Τὰ εἰς α *μακρὸν τρισύλλαβα παραληγόμενα τῷ* ι *ἐπὶ οὐσίας λαμβανόμενα βαρύνεται, χωρὶς*

---

37) *πρασιὰ ὁ τόπος ὅπου ξηραίνονται τὰ σῦκα, καὶ αἱμασιὰ κ. τ. λ.*

38) *ἔτι τὸ ἰμονιὰ τὸ ἀντλητήριον παρ' ἀττικοῖς ὀξύνεται.*

Τὰ εἰς α *μακρὸν τῇ* ρι *παραληγόμενα παροξύνεται, αἰθρία, κοπρία, ὑδρία, φατρία. τὸ μέντοι στηριὰ δῆμος.*

Τὰ εἰς α *μακρὸν κ. τ. λ.*

τινῶν, καρδία, σχεδία, ζημία, σηπία, οἰκία. τὸ μέντοι σκοπιὰ καὶ σπονδιὰ ὀξύνονται, ὡς ἔχοντα τὸ ō πρὸ τοῦ ῑ, ὥσπερ καὶ τὸ πολιὰ καὶ τροχιὰ καὶ ἁρματροχιά.

Τὰ εἰς ᾱ μακρὸν τῷ ρι παραληγόμενα παροξύνεται, αἰθρία, κοπρία, ὑδρία, φατρία. τὸ μέντοι στηριὰ δῆμος [39]).

Τὰ παραληγόμενα ἀπὸ τῶν εἰς ξ̄ βαρύνεται, φρυγία, βεβρυκία. σεσημείωται [40]) τὸ ἀθραυιὰ ὀξυνόμενον.

Τὰ διὰ τοῦ οᾱ σπάνια καὶ κατὰ πάθος γενόμενα παρ' ἀττικοῖς ὀξύνεται, οἷα, ὅα, χροία [41]), χρόα. τὰ δὲ ἐν συνθέσει ὀξύνεται, στοιὰ στοά, ῥοιὰ ῥοά.

Τὰ διὰ τοῦ οια μακρὰ, ὅσα ἀπὸ ψιλοῦ συμφώνου ἄρχονται, βαρύνεται, ποία ἡ βοτάνη, τροία, ποία ἡ σφαῖρα, καὶ οὕτω [42]) οἷα ἡ κόμη. τὰ μέντοι χροιὰ, στοιὰ ὀξύνεται.

Τὰ εἰς ᾰ μακροκατάληκτα βαρύνονται παραληγοντα τῷ ῠ, ὀξύα εἶδος ξύλου, καρύα, κωδύα ἡ τῆς μήκωνος κεφαλὴ, δατύα πόλις.

Τὰ εἰς ᾰ καθαρὸν τῷ ω̄ παραληγόμενα βαρύνεται, ὦα ἡ μηλωτὴ, κρώα, ψοθώα, ἡ ψώρα.

Τὰ εἰς ᾰ μακρὸν μὴ ἀπὸ συμφώνου ἀρχόμενα πλὴν τοῦ ρ̄ παροξύνεται, ἥρα, ὀπώρα, χώρα.

---

39) Τὰ εἰς ᾱ μακρὸν — δῆμος absunt. v. not. anteced.

40) βεβρυκία, ὀρτυγία. σεσημείωται — .

41) οἷα, ὅα τὸ δέρμα, χροία.

42) οὕτω καὶ.

εἰ δέ τι ἄλλο εὑρεθῇ, κατὰ διάλεκτον ἢ πάθος ἐγένετο, ὡς τὸ ἑλένα, ἑλένη, ἀθηναία, ἀθηνᾶ.

Τὰ εἰς ρα μακροκατάληκτα τρισύλλαβα παραληγόμενα τῷ ε μονογενῆ βαρύνεται, εἰ μὴ ἐπιθετικὰ εἴη, ἡμέρα, ἀσκέρα, εἶδος ὑποδήματος, διφθέρα, λακέρα. τὸ δὲ γλυκερὰ ὀξύνεται, εἴτε κύριον, εἴτε ἐπιθετικὸν εἴη. καὶ τὸ περιστερὰ τετρασύλλαβον, καὶ τὸ ἐλευθεραὶ πληθυντικῶς λεγόμενον.

Τὰ εἰς ρα ὑπὲρ δύο συλλαβὰς τῷ υ παραληγόμενα βαρύνεται. ἀλλ' εἰ μὲν ἔχωσι τὸ ᾰ μακρὸν, παροξύνεται, πορφύρα, ἐφύρα· εἰ δὲ βραχύ, προπαροξύνεται, κέρκυρα, ἄγκυρα, γέφυρα. τὸ δὲ γλαφυρὰ ὀξύνεται, εἴτε ὄνομα πόλεως εἴη, εἴτε ἐπιθετικόν.

Τὰ εἰς ρα μακρὸν τῷ ω παραληγόμενα βαρύνεται, χώρα, ψώρα, ὥρα, μεθ' ὧν καὶ τὸ πρώρα, εἰ καὶ συστέλλει τὸ ᾰ.

Τὰ εἰς ρα ἁπλᾶ μονογενῆ τρισύλλαβα παραληγόμενα τῷ ω ἀπὸ φύσει μακρᾶς ἢ βραχείας ἀρχόμενα βαρύνεται, φαλώρα, πληθώρα, ληθώρα. εἰ δὲ ἀπὸ θέσει μακρᾶς, ὀξύνεται, θαλπωρὰ, ἐλπωρά. τὸ δὲ πανδώρα σύνθετον ὂν παροξύνεται.

Τὰ εἰς ρα μονογενῆ μὲν ἐπιπλοκῆς συμφώνου παροξύνεται, καὶ μακρὸν ἔχει τὸ ᾰ, ὕδρα, πέτρα, ῥήτρα, φαρέτρα, γάστρα, μήτρα. σεσημείωται τὸ τάναγρα καὶ σκολόπενδρα, προπαροξύτονα καὶ συστέλλοντα τὸ ᾰ.

Περὶ τῶν εἰς η̄ θηλυκῶν καὶ τῶν ω̄ μετὰ τῶν καθεξῆς.

Βιβλίον ιβ'.[43])

Τὰ εἰς η̄ λήγοντα θηλυκὰ, παρὰ γενικῆς σχηματισθέντα, βαρύνεται, χιτῶνος χιτώνη, ἡγεμόνος ἡγεμόνη, σώφρονος σωφρόνη, εὔφρονος εὐφρόνη, ἀμύμονος ἀμυμόνη. τὸ δὲ ἁρπαγὴ ὀξύνεται, διότι ἀπὸ τοῦ ἁρπάζω. τὸ δὲ ἁρπάγη, σιδήριον τὸ βαρυνόμενον, ἀπὸ τοῦ ἅρπαγος. καὶ τὰ ὁμοιοπαρώνυμα ὁμοίως, ἀμφίρυτος ἀμφιρύτη, δορύκτητος δορυκτήτη, ἀμφίλυκος ἀμφιλύκη.

Τὰ εἰς η̄ σύνθετα καὶ παρασύνθετα βαρύνεται, ὠκυπέτη, ὑψιπύλη, ἐριφύλη, βερονίκη, πολυκάστη.

Τὰ εἰς η̄ προσηγορικὰ ἢ βαρύνεται ἢ ὀξύνεται σύνθετα ὄντα. ὅσα οὖν ἔχει τι ἄλλο μέρος λόγου, καὶ ἄρχεται χωρὶς προθέσεως, βαρύνεται, κυνάγχη, βουκάμπη, ἡ τῶν βοῶν κάμπη[44]), παντογκύνη, ἡ ταραχώδης γυνὴ, ὀξάλμη, τολύπη, ἡ ἐργασία. τὸ δὲ ἀστεροπὴ ὀξύνεται, καὶ σύνθετον παρὰ τὸ ὄπα καὶ ἀστήρ. καὶ τὸ ὑδρωῶν οἱ παλαιοὶ ἐβάρυναν, οἱ δὲ μετανέστεροι (sic) ὀξύνουσιν οὐχ ὑγιῶς.

Τὰ εἰς η̄ θηλυκὰ προσηγορικὰ ἀπὸ προθέσεως συντεθειμένα, τότε μὲν ὀξύνεται, ὅτε τὰ ἑαυτῶν ἁπλᾶ, καὶ τότε βαρύνεται, ὅταν τὰ ἑαυτῶν βαρύνηται, ἀνατολὴ, μεταβολὴ, ἀναβολὴ,

---

43) Περὶ τῶν εἰς η̄ — ιβ' absunt.

44) φάτνη pro κάμπη.

ἐπιτολὴ, παραψυχὴ τὸ προσηγορικὸν, παραψύχη δὲ τὸ κύριον. τὸ δὲ ἀναρρὼη παροξύνεται, καίτοι ἀπὸ τοῦ ῥοὴ, καὶ τὸ ἀναδέσμη ἀπὸ τοῦ ἀναδεσμός. τὰ δὲ βαρύτονα ταῦτα, συνθήκη, παρακαταθήκη, συγγνώμη, συνάγχη.

Τὰ εἰς η̄ συναλιλειμμένα περισπᾶται, λεοντέα λεοντῆ, συκέα συκῆ, γαλέα γαλῆ, ἀμυγδαλέα ἀμυγδαλῆ.

Τὰ εἰς η̄ καθαρὸν μονογενῆ οὐ πολλὰ βαρύνεται, δανάη. ἀχαυὴ ὀξύνεται ἐπιθετικὸν ὄν. καὶ τὰ διὰ τοῦ ευη παροξύνεται, χλεύη, κεύη, δεύη. τὸ μέντοι σκευὴ ὀξύνεται, καὶ τὰ ἀπ' αὐτῆς, κατασκευὴ, ἐπισκευὴ, οἰκοσκευή.

Τὰ εἰς η̄ καθαρὸν δισύλλαβα τῷ ο̄ παραληγόμενα ὀξύνεται καὶ βαρύνεται. καὶ βαρύνεται τὰ ἀπὸ δύο συμφώνων προηγουμένου τοῦ θ, σέος, φθόη ἡ φθορὰ, χλόη, χλόη (sic) αἱ χοινίδες (sic) τῶν ἁρμάτων. τὰ δὲ μὴ οὕτως ἔχοντα ὀξύνεται, χαὴ ἡ σποδὸς, βοὴ, θοὴ τὸ ἐπίθετον, θόη δὲ τὸ κύριον, πνοή. ἔτι καὶ τὰ ὑπερδισύλλαβα, οἰνόη, χολόη. τὸ δὲ ἀκοὴ ἐκ τοῦ ἀκούω.

Τὰ εἰς η̄ δισύλλαβα παραληγόμενα τῷ ῡ, σπάνια ὄντα, τὰ μὲν βαρύνεται, λύη ἡ στάσις, δύη ἡ κακοπάθεια, γύνη ἡ γῆ καὶ μέρος ἀρότρου, ψύη ἡ ψύα καὶ ψόαι· τὰ δὲ ὀξύνεται, φυὴ, καὶ φλυὴ ὁ δῆμος ἀττικός.

Τὰ διὰ τοῦ υη ὑπερδισύλλαβα βαρύνεται, θιγύη, ὀρύη, εἶδος ὀσπρίου, λιβύη.

Τὰ διὰ τοῦ ωη ὀξύνεται, ζωὴ, θωὴ, ἐρωή.

Τὰ εἰς βη ἔχοντα πρὸ τοῦ β̄ σύμφωνον κατ'

ἐπιπλοκὴν ἢ κατὰ διάστασιν βαρύνεται, εἰ μὴ ῥηματικὰ εἴη ἢ προσηγορικὰ ἢ παραλήγοι τῷ ō, τύρβη, κόμβη τὸ κύριον, κύμβη νηὸς εἶδος, θήσβη, κράμβη, ἅλμη. τὸ δὲ φορβὴ ἔχει τὸ ō. Τὰ γὰρ εἰς η̄ ῥηματικὰ ὀξύνεται, τρέπω τροπὴ, τρέφω τροφὴ, νέμω νομή.

Τὰ εἰς βη̄ ὑπερδισύλλαβα μὴ παραληγόμενα τῇ̄ οι διφθόγγῳ βαρύνεται, ἀλύβη, καλύβη, νιόβη, ἀστράβη, εἶδος ἁμάξης, ἑκάβη. τὸ δὲ ἀμοιβὴ ὀξύνεται, ὡς ἔχον τὴν οῑ δίφθογγον.

Τὰ εἰς βη̄ ἰαμβικὰ κύρια ἢ παρώνυμα βαρύνεται, ἄβη κύριον, βλάβη. ὀξύνεται δὲ ταῦτα, φοῖβη, κοίβη. προσηγορικὰ δὲ ὀξύνεται, λοιβὴ, στοιβὴ, ἀμοιβή.

Τὰ εἰς βη̄ δισύλλαβα φύσει μακρᾷ παραληγόμενα καὶ μὴ τῇ̄ οι βαρύνεται, ἤβη, θήβη, στήβη ἡ ψυχρὰ, λώβη.

Τὰ εἰς γη̄ δισύλλαβα ἔχοντα τὴν πρώτην εἰς σύμφωνον λήγουσαν, προσηγορικὰ ὄντα ὀξύνεται, φθογγὴ, κλαγγὴ, ὀργὴ, στοργή. τὰ δὲ κύρια βαρύνεται, βέργη, σέλγη, πάργη.

Τὰ εἰς γη̄ ἰαμβικὰ ῥηματικὰ ὄντα ὀξύνεται, ταγὴ ἀπὸ τοῦ τάσσω, φυγὴ, σφαγή. παρώνυμα δὲ βαρύνεται, πάγη, τρύγη, στέγη. τὸ μέντοι σαγὴ, τὸ πλῆθος, τινὲς μὲν ὀξύνουσι, τινὲς δὲ βαρύνουσι.

Τὰ εἰς γη̄ δισύλλαβα ἀσυναίλειπτα φύσει μακρᾷ παραληγόμενα, εἰ μὴ διαστολή τις εἴη, ἢ ἀπὸ τοῦ γ̄ ἄρχοιτο, ὀξύνεται, πληγὴ, σιγὴ, κραυγή·

κραύγη δὲ τὸ κύριον. τὸ δὲ γύγη ἀπὸ τοῦ γ ἄρχεται. τὸ δὲ αἰγῆ ἀπὸ τοῦ αἰγέα συναλειφθὲν περισπᾶται.

Τὰ εἰς γη ὑπερδισύλλαβα προσηγορικὰ, ἔχοντα τὴν πρὸ τέλους συλλάβην εἰς φωνῆεν λήγουσαν ὀξύνεται, μαρμαρυγὴ, κορκορυγὴ ὁ θόρυβος, ὁλολογὴ, οἰμωγή. λαλάγη δὲ κύριον, ὥσπερ τὸ ἀλέγη ἡ σκιὰ, καὶ παλάγη ἡ ἀγνὴ ἱέρεια. καὶ τὸ πατάγη δέ τινες βαρύνουσιν.

Τὰ εἰς γη ὑπερδισύλλαβα, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, βαρύνεται, ὀλίγγη ἡ ἀνάπαυσις, λιβύργη, ἀμόργη ἡ τοῦ ἐλαίου τρύξ. σεσημείωται τὰ ἀμολγὴ ὀξυνόμενον.

Τὰ εἰς δη ἔχοντα πρὸ τοῦ τέλους τὸ ο εἰς σύμφωνον καταλῆγον προσηγορικὰ ὄντα ὀξύνεται, χορδὴ, σπονδή. τὰ μέντοι χόνδη κύριον βαρύνεται, καὶ τὸ μένδη κύριον, καὶ τὸ ἄλδη.

Τὰ εἰς δη προσηγορικὰ ὀξύνεται, ᾠδὴ, ἀοιδὴ, σπουδὴ, ἐδωδὴ, αὐδή. τὰ μέντοι λήδη κύριον, καὶ ἴδη καὶ μίδη.

Τὰ εἰς δη λήγοντα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν βραχεῖαν μὴ εἰς σύμφωνον καταλήγουσαν, εἰ μὲν κύρια ὦσιν, ἢ οὐσίαν σημαίνει, βαρύνεται, πέδη, κνίδη, σίδη, νέδη· εἰ δὲ κατὰ πράγματος τάσσοιτο, ὀξύνεται, κομιδὴ ἡ ἐπιμέλεια, φραδὴ [45]) ἡ βουλὴ, χλιδὴ ὁ κόσμος.

---

45) ἡ ἐπιμέλεια, ὑδὴ ἡ ἡδονὴ, φραδή.

Τὰ εἰς θη δισύλλαβα βαρύνεται, εἰ μὴ ἰαμβικὰ εἴη τῷ ὁ παραλήγοντα, μάλθη ὁ κηρὸς, τίθη, ξάνθη, σπάθη. σεσημείωται τὸ κριθὴ ὀξυνόμενον, καὶ τὸ ποθὴ ἔχον τὸ ὁ.

Τὰ εἰς θη μονογενῆ ὑπερδισύλλαβα βαρύνεται, κἀλάθη πόλις, βισάνθη, ἰάνθη, λυκάνθη. τὸ δὲ ἀγαθὸς ἀγαθὴ τριγενές.

Τὰ εἰς κη δισύλλαβα φύσει μακρᾷ παραληγόμενα ἀσυνάλειπτα βαρύνεται, ἀρχόμενα ἀπὸ συμφώνου ἢ συμφώνων, μὴ ποιότητα φωνῆς ἀλόγου ζώου σημαίνοντα, γλαύκη κύριον, πεύκη, νίκη, φρίκη. τὸ δὲ μυκὴ ὀξύνεται, σημαῖνον φωνὴν λέοντος. τὸ δὲ ὠκὴ ἄρχεται ἀπὸ φωνήεντος.

Τὰ εἰς κη ἰαμβικὰ ἀσυνάλειπτα, εἰ μὲν τῷ ὁ παραλήγοιτο, ὀξύνεται ῥηματικὰ ὄντα, πλέκω πλοκὴ, δέκω δοκὴ ἡ ὑπόνοια, πέκω ποκὴ τὸ ἔριον. τὸ μέντοι κρόκη ἀπὸ τοῦ κρόκος. εἰ δὲ ἄλλῳ συμφώνῳ, βαρύνεται, δίκη, λύκη κύριον, κάκη ἡ κάκωσις. τὸ μέντοι ἰακὴ ἡ ἡσυχία ὀξύνεται, πρὸς ἀντιδιαστολὴν κυρίου. τὸ δὲ φακῆ περισπᾶται ἐκ συναιρέσεως.

Τὰ εἰς κη δισύλλαβα πρὸ τοῦ κ σύμφωνον ἔχοντα μὴ τὸ λ βαρύνεται, κάκη ἡ δειλία, λόκη ἡ χλαμὺς, κράκη ἡ παράλιος ψηφὶς, δίρκη, κίρκη, νάρκη, βάρκη, ἄσκη ἡ ἄσκησις. τὸ δὲ ὁλκὴ καὶ ἀλκὴ ὀξύνονται, ὡς ἔχοντα τὸ λάμβδα. τὸ δὲ χάλκη ἡ πόλις πρὸς διαστολὴν τοῦ χαλκῆ.

Τὰ εἰς κη ὑπερδισύλλαβα τῷ α παραληγόμενα, εἴτε κύρια εἴτε προσηγορικὰ, βαρύνεται, εἰ

μὴ εἶη ῥηματικὰ, ἰθάκη, ἀτάρκη, σπυλάκη πόλις. ἡ δὲ φυλακὴ ἀπὸ τοῦ φυλάσσω, καὶ αἰακὴ ἀπὸ τοῦ αἰάζω.

Τὰ εἰς κη ὑπερδισύλλαβα τῷ ε̄ ἢ τῷ ο̄ παραληγόμενα σπάνιά εἰσιν. τὸ ἀλωπεκὴ ὀξύνεται. τὸ δὲ βορβορόκη βαρύνεται, καὶ τὸ ψοθούκη ἡ ἀκαθαρσία.

Τὰ εἰς κη ὑπερδισύλλαβα παραληγόμενα τῷ ῑ συνεσταλμένῳ παροξύνεται, ἐλίκη κύριον, μύρκη[46]), βαιτίκη χώρα, μηδίκη. τὰ δὲ ἔχοντα ἔννοιαν τινὸς προσυπακουομένου ὀξύνονται, μουσικὴ, ἰατρικὴ, γραμματικὴ.

Ἔτι τὰ ἔχοντα τὸ ῑ ἐκτεταμένον κύρια ἢ προσηγορικὰ βαρύνεται, φοινίκη, ἐρίκη. καὶ τὰ ἔχοντα σ̄ πρὸ τοῦ κ̄ παροξύνεται, λεκανίσκη, παρθενίσκη, θυΐσκη.

Τὰ εἰς κη ὑπερδισύλλαβα παραληγόμενα τῷ ῡ βαρύνεται, καλύκη κύριον, σαβύκη εἶδος ὀργάνου, ἰτύκη, ἐρύκη.

Τὰ εἰς κη ὑπερδισύλλαβα παραληγόμενα τῷ ω̄ ὀξύνεται, ἀκωκὴ, ἰωκὴ ἡ, δίωξις.

Τὰ εἰς λη μετ' ἐπιπλοκῆς συμφώνου, εἰ μὴ παραλήγοιτο ο̄, ἐν προσηγορικοῖς βαρύνεται, ζάγκλη, αἴγλη, σίγλη τὸ ἐνώπιον, ζεύγλη, φύτλη, τρώγλη. τὸ μέντοι ὁμοκλὴ καὶ ὁπλὴ παραλήγουσιν ο̄, καὶ τὸ κελὴ ἀπὸ τοῦ κεφαλὴ γέγονε.

Τὰ εἰς λη μονογενῆ δισύλλαβα ἑτέρῳ λ̄ πα-

46) μυρίκη.

ραληγόμενα βαρύνεται, ἔλλη, πέλλη. τὸ δὲ κυλλὴ τριγενές.

Τὰ εἰς λη μονογενῆ δισύλλαβα παραληγόμενα τῷ ω ἢ ε βαρύνεται ἀσυνάλειπτα ὄντα, πάλη, σάλη, ἡ φροντὶς, ζάλη, ἄλη, πλάνη. ἀλὴ δὲ δῆμος τῆς ἀττικῆς ὀξυνόμενον. τὸ δὲ γαλῆ περισπᾶται ἀπὸ συναιρέσεως.

Τὰ διὰ τοῦ ειλη δισύλλαβα βαρύνεται, εἰ μὴ ἀπὸ δασέος ἄρχοιτο συμφώνου, στήλη, μήλη, κήλη, μεθ' ὧν καὶ ἥλη ἄθροισις. τὸ δὲ χηλῆ καὶ θηλὴ ὀξύνεται ὡς ἀπὸ δασέος ἀρχόμενα.

Τὰ εἰς λη δισύλλαβα μὴ κύρια, παραληγόμενα διφθόγγῳ τῇ διὰ τοῦ υ, ὀξύνεται, βουλὴ, εὐλὴ, ὁ σκώληξ, οὐλὴ τὸ μονογενές. τὸ γὰρ οὖλας, οὖλη βαρύνεται, ὁ ὀλέθριος καὶ ὁ οὐλότριχος. τὸ δὲ θούλη κύριον, καὶ τὸ δούλη τριγενές.

Τὰ εἰς λη δισύλλαβα παραληγόμενα τῷ ει ἢ τῷ ι βαρύνεται, εἴλη ἡ θερμασία, δείλη. τὸ δὲ δήλη τριγενές. σεσημείωται τὸ σμειλὴ τὸ σμιλίον [47]) ὀξυνόμενον.

Τὰ διὰ τοῦ αλη ὑπερδισύλλαβα μονογενῆ ἀσυνάλειπτα βαρύνεται, ἐκάλη, μασχάλη, αἰθάλη, δειμάλη. τὸ δὲ κεφαλὴ ὀξύνεται. τὸ ἀλάλη ὁ θόρυβος παρὰ τὸ λαλῶ. τὸ δὲ ἀμυγδαλῆ ἐκ συναιρέσεως.

Τὰ διὰ τοῦ ελη μονογενῆ ὑπερδισύλλαβα παροξύνεται, σεμέλη, ἀγέλη, κυψέλη ὁ ῥῦπος τῶν

47) τὸ σμειλίον.

ὦτων, καὶ τὸ ἀγγεῖον τῶν κηρίων. εἰ δέ τι ὀξύνεται, τὴν πρώτην συλλαβὴν μακρὰν ἔχοι, πιμελὴ τὸ λίπος, καὶ τὸ ἀγγελὴ καὶ ἐντελὴ ὀξύνεται.

Τὰ διὰ τοῦ ηλη ὑπερδισύλλαβα βαρύνεται, ἀθήλη, γαμήλη, κωβήλη. τὸ δὲ ἀμφηλὴ ὀξύνεται, καὶ τὸ θυηλὴ ἡ θυσία.

Τὰ εἰς ιλη ὑπερδισύλλαβα βαρύνεται, παστίλη τὸ ἀπόξεσμα τῶν δερμάτων, μαρίλη ἡ κόνις, μυστίλη ὁ κοῖλος ἄρτος. τὸ μέντοι ὠτειλὴ καὶ ἀπειλὴ καὶ ὀφειλὴ ὀξύνεται, ὡς ἔχοντα τὸ ε πρὸ τοῦ ι.

Τὰ διὰ τοῦ ολη ὑπερδισύλλαβα βαρύνεται, εἰ μὴ σύνθετα εἴη ἐκ προθέσεως, ἀσβόλη, θερσόλη. τὸ δὲ ἐντολὴ, ἀνατολὴ, καὶ τἆλλα ἐκ προθέσεως ὀξύνονται.

Τὰ διὰ τοῦ υλη ὑπερδισύλλαβα βαρύνονται, κορδύλη, κοτύλη, μογγύλη, σταφύλη τὸ τεκτονικὸν ἐργαλεῖον, σταφυλὴ δὲ ὁ καρπός. τὸ μέντοι ἀγκυλὴ, καὶ ἀγρυλὴ, ὀνόματα δήμων ὀξύνονται.

Τὰ διὰ τοῦ ωλη ὑπερδισύλλαβα ὀξύνεται, παυσωλὴ, τερπωλὴ, εὐχωλὴ, ἀδμωλὴ ἡ ἄγνοια. τὸ δὲ ἐρυμώλη [48]) ἡ μεγάλη πνοὴ, ἀπὸ τοῦ ἔρι καὶ τοῦ ἄω τὸ πνέω, βαρύνεται.

Τὰ εἰς μη λήγοντα προσηγορικὰ ἔχοντα κατ' ἐπιπλοκὴν σύμφωνον μὴ δασὺ ὀξύνεται, δεσμὴ, δυσμὴ, πυγμή. τὸ μέντοι χάσμη βαρύνεται δασὺ ἔχον τὸ σύμφωνον.

48) ἐριμώλη.

Τὰ εἰς μη ἔχοντα σύμφωνον κατὰ διάστασιν βαρύνεται, τόλμη, ἄλμη, χάρμη, σκάλμη. σεσημείωται τὸ ὁρμὴ, καὶ τὸ γραμμὴ ὀξυνόμενα.

Τὰ διὰ τοῦ αμη εἴτε δισύλλαβα εἴτε ὑπερδισύλλαβα μονογενῆ βαρύνεται, εἰ μὴ εἴη ἐκ συναιρέσεως, σάμη νῆσος, καλάμη, παλάμη. τὸ δὲ σπιθαμὴ ὀξύνεται. τὸ δὲ σισαμῆ περισπᾶται ὡς ἐκ συναιρέσεως.

Τὰ εἰς μη ἰαμβικὰ, παραληγόμενα τῷ ο, ἀπὸ ῥημάτων παραληγόντων ε, ὀξύνεται, δρέμω δρομὴ, τέμνω τομή. τὸ μέντοι κόμη βαρύνεται ἀπὸ τοῦ κόσμος γεγονυῖα, κόσμη γάρ.

Τὰ εἰς μη φύσει μακρᾷ παραληγόμενα βαρύνεται, μνήμη, κνήμη, φήμη, λύμη, σύμη τὸ κύριον. σεσημείωται τὸ τιμὴ προσηγορικὸν ὀξυνόμενον. τίμη δὲ τὸ κύριον βαρύνεται.

Τὰ εἰς νη μονογενῆ μετὰ ἁπλοκῆς συμφώνου βαρύνεται, πάχνη, λάχνη, ἄχνη, τέχνη, αἴτνη, φάτνη, δάφνη, ὄρφνη, ἡ νύξ. τὸ δὲ ψεδνὸς ψεδνὴ τριγενές.

Τὰ εἰς νη μονογενῆ ἔχοντα τὴν πρὸ τέλους εἰς ρ καταλήγουσαν βαρύνεται, πτέρνη, λέρνη, πάρνη. τὸ δὲ φερνὴ ἡ προῖξ παρὰ τὸ φέρειν ὀξύνεται.

Τὰ διὰ τοῦ ανη δισύλλαβα μονογενῆ βαρύνεται, ἄνη ἡ ἄνυσις, πλάνη, κυάνη κύριον, σάνη.

Τὰ διὰ τοῦ ανη μονογενῆ ὑπὲρ δύο συλλαβὰς βαρύνεται, θηγάνη ἡ ἀκόνη, ἐργάνη ἡ ἀθη-

νᾶ, ὀρκάνη ἡ εἰρκτὴ, σωσάνη, πτισσάνη, δαπάνη, λεκάνη, βοτάνη. τὸ δὲ μηχειλὴ ὀξύνεται.

Τὰ εἰς νη διασύλλαβα τῷ ε παραληγόμενα καὶ βαρύνεται καὶ ὀξύνεται. βαρύνεται τὸ ἔνη, ὀξύνεται τὸ θεναι (sic) [49] πόλις, καὶ τὸ εὐνὴ μετὰ τοῦ υ.

Τὰ διὰ τοῦ ενη ὑπερδισύλλαβα μονογενῆ βαρύνεται, ὠκένη, ὠλένη, χριμένη. τὸ δὲ κλαζομεναὶ πόλις ὀξύνεται, καὶ τὸ δεξαμενὴ, εἰαμενὴ ὁ κάθυγρος τόπος, τοπικὴν ἔννοιαν ἔχοντα.

Τὰ διὰ τοῦ ηνη μονογενῆ δισύλλαβα βαρύνεται, εἰ μὴ περιεκτικὰ εἴη, ῥήνη, σκήνη, φήνη τὸ ὄρνεον, γλήνη ὁ ῥύπος. τὸ μέντοι σκηνὴ ὀξύνεται ὡς προσηγορικὸν περιέχον ἔννοιαν.

Τὰ διὰ τοῦ ηνη τρισύλλαβα μονογενῆ βαρύνεται, ἀρήνη, ἀθήνη, ἀνθρήνη εἶδος μελίττης, μεσσήνη, γαλήνη. τὸ δὲ γερμηνὴ ἡ συνήθεια ὀξύνεται [50].

Τὰ διὰ τοῦ ηνη ὑπερτρισύλλαβα ὀξύνεται, καμασυνὴ, μελιτηνὴ, παλαιστηνή. τὸ δὲ μιτυλήνη βαρύνεται, καὶ τὸ πακτήνη [51]) καὶ δινδυμήνη.

Τὰ εἰς νη δισύλλαβα μονογενῆ τῷ ι παραληγόμενα ἢ τῷ ει βαρύνεται, κλίνη, δίνη ἡ συστροφὴ, πείνη, ῥίνη ὁ ἰχθῦς. τὸ δὲ ὄργανον ὀξύνεται.

---

49) θεναι.

50) ὀξύνει.

51) πακτυήνη.

Τὰ εἰς νη ὑπερδισύλλαβα μονογενῆ παραληγόμενα τῷ ι βαρύνεται, εἰλαπίνη, μυρσίνη, θριδακίνη, ἀξίνη, ὑσμίνη. τὸ δὲ ἐχινῆ ἡ τραχεῖα ἀπὸ τοῦ ἐχινέα γέγονε, διὸ περισπᾶται.

Τὰ εἰς νη δισύλλαβα μονογενῆ παραληγόμενα μὲν τῇ οι διφθόγγῳ βαρύνονται, οἴη, θοίνη. τὸ δὲ πρινὴ ὀξύνεται. παραληγόμενα δὲ ω ὀξύνεται, μονὴ, γονὴ, καὶ φονὴ ἡ ὀλεθρία.

Τὰ διὰ τοῦ ονη ὑπερδισύλλαβα βαρύνονται καὶ ὀξύνονται. βαρύνεται μὲν τὰ παρώνυμα κύρια, ἀντιγόνη, ἐριγόνη. ἔτι καὶ ταῦτα, σφενδόνη, ὀθόνη, ἀκόνη, βελόνη, περόνη. ὀξύνεται δὲ ἡδονὴ, φλεγμονὴ, πλησμονή.

Τὰ εἰς νη δισύλλαβα τῷ υ μακρῷ παραληγόμενα βαρύνεται, μύνη ἡ τροπὴ, βύνη. τὸ φυρνὴ δὲ καὶ γυνὴ ὀξύνεται τὸ υ βραχὺ ἔχοντα.

Τὰ εἰς νη ὑπερδισύλλαβα μονογενῆ παραληγόμενα τῷ υ βαρύνεται, αἰσχύνη, ὀδύνη, δουλωσύνη, ἀγνωμοσύνη.

Τὰ εἰς ωνη δισύλλαβα παροξύνεται, ζώνη, μνώνη, σμώνη, ἡ πλῆξις τοῦ ἀνέμου. τὸ δὲ φωνὴ ἀπὸ τοῦ φωνῶ καὶ τὸ ὠνὴ ἀπὸ τοῦ ὠνῶ ὀξύνεται.

Τὰ διὰ τοῦ ωνη κύρια ὑπερδισύλλαβα βαρύνεται, δωδώνη, μεθώνη, εἰρεσιώνη, χελώνη, κορώνη. τὸ δὲ ἀζωνὴ ὀξύνεται, καὶ τὸ κλεωναὶ καὶ μοχωναὶ [52]) πόλεις, πληθυντικῶς λεγόμεναι.

---

52) μολωναι.

Τὰ εἰς ξη, τὸ αὔξη, εὕρηται βαρύτονον.

Τὰ εἰς πη δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν λήγουσαν, μὴ τῷ ο, βαρύνεται, νάπη, λύπη, σκέπη, κώπη. τὸ δὲ τυπὴ ὀξύνεται, καὶ τὸ ῥοπὴ καὶ τροπή.

Τὰ εἰς πη δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους εἰς σύμφωνον καταλήγουσαν βαρύνεται, ἅρπη, λάμπη, κάμπη τὸ ὄρος, σάλπη, κάμπη σκώληξ, καμπὴ δὲ ἡ κάμψις. τὸ μέντοι μολπὴ ἀπὸ τοῦ μέλπω, καὶ πομπὴ παρὰ τὸ πέμπω, ὀξύνεται. τοῦτο δὲ πόμπη κύριον ὂν παροξύνεται.

Τὰ εἰς πη κύρια ὄντα ὑπερδισύλλαβα βαρύνεται, καλλιόπη, ἀντιόπη, στερόπη τὸ κύριον, στεροπὴ δὲ ἡ ἀστραπὴ, ἀρύπη πόλις, σεμώπη· τὸ μέντοι σιωπὴ ὀξύνεται, καὶ τὸ ἐνοπὴ καὶ ἀστραπὴ καὶ ἀστεροπὴ καὶ ἐνιπὴ ἡ ἐπίπληξις. σεσημείωται τὸ λύπη βαρύτονον ἡ ἐργασία.

Τὰ εἰς ρη ἰωνικώτερα κατὰ τροπὴν τοῦ α εἰς η βαρύνεται, κόρη, ἄγκρη, ὀλίσκρη, ἀντισάρη, δέρη ὁ τράχηλος. τὸ δὲ καρὴ ὀξύνεται.

Τὰ εἰς ση λήγοντα προηγουμένου τοῦ σ βαρύνεται, ἄσση ὁ ῥύπος, κόρση ὁ κρόταφος, μέσση πόλις. τὸ λισσὴ ὀξύνεται, καὶ τὰ τῶν δήμων ὀνόματα μεσσὴ καὶ περγασσή.

Τὰ εἰς τη παραληγόμενα τῷ α ἢ τῷ ο βαρύνεται, εἰ μὴ ἐπὶ δήμου τάττοιτο, πλάτη καὶ ὠμοπλάτη, ἄτη καὶ ἀπάτη, ἐλάτη, ἑκάτη, κρήτη, ἀρήτη. τὸ δὲ βατὴ τὸ τοῦ δήμου.

Τὰ εἰς τη παραληγόμενα τῷ ε κύρια ὄντα

βαρύνεται, βρεμέτη, ὠκυπέτη, δημαρέτη. τὸ δὲ ἀφεταὶ πληθυντικῶς λέγεται. τὸ δὲ προσηγορικὸν ὀξύνεται, ἀρετὴ, τελετὴ, βιοτή. τὸ δὲ μελέτη παροξύνεται σύνθετον ὂν παρὰ τὸ μέλω, καὶ τεὸν τὸ ἀληθές.

Τὰ εἰς τη παραληγόμενα τῷ ι ὑπερδισύλλαβα κύρια ὄντα βαρύνεται, μελίτη, ἀμφιτρίτη, ἀφροδίτη. τὸ δὲ λιτὴ δισύλλαβον.

Τὰ εἰς τη πρὸ τέλους ἔχοντα τὸ υ ὀξύνεται, ἰοάϋτὴ ἡ βοὴ, πινυτὴ τὸ ἐπίθετον, πινυτὴ δὲ (sic)[53] τὸ κύριον.

Τὰ εἰς τη ὑπερδισύλλαβα τῷ ω παραληγόμενα βαρύνεται, κριθώτη, περκώτη, γεφυρώτη. τὸ μέντοι μηλωτὴ, κερωτὴ, ὀξύνεται, καὶ τὸ οἰπωτὴ ὁ ῥῦπος.

Τὰ εἰς τη δισύλλαβα τῷ θόγγῳ παραληγόμενα βαρύνεται, κραύτη εἶδος ὑποδήματος, προίτη, κοίτη, δροίτη ἡ πύελος, βαίτη ἡ διφθέρα, δαίτη ἡ εὐωχία. τὸ δὲ τελευτὴ τρισύλλαβον.

Τὰ εἰς τη δισύλλαβα προσηγορικὰ ἔχοντα πρὸ τοῦ τ σύμφωνον ὀξύνεται, εἰ μὴ παραλήγοι ι ἢ α ἢ λ, βροντὴ, εἰρκτὴ, πηκτὴ, ὄργανον μουσικὸν, ἀκτὴ, βλατή[54]. τοῦτό τινες βαρύνουσιν. τὸ μέντοι κίστη βαρύνεται, δίκτη, σπάρτη.

Τὰ εἰς τη ὑπερδισύλλαβα ἔχοντα κατὰ σύλ-

53) πινύτη δὲ.

54) βλαστή.

ληψιν σύμφωνον, ἢ πρὸ τέλους τὸ ρ̄, κύρια ὄντα βαρύνεται, ἀδρήστη, ἰωκάστη. τὸ μέντοι ἑορτὴ ὀξύνεται, καὶ τὸ παλαιστὴ καὶ λεπαστὴ ἡ κύλιξ.

Τὰ εἰς φη λήγοντα δισύλλαβα προσηγορικὰ παραληγόμενα ᾰ ὀξύνεται, ἀφὴ, βαφὴ, ῥαφὴ, γραφὴ, σκαφὴ τὸ σκάμμα, σπάφη τὸ πλοῖον. τὰ δὲ κύρια βαρύνεται, τράφη, κάρφη, καὶ τὰ τοιαῦτα.

Τὰ εἰς φη παραληγόμενα τῷ ο̄ ἢ τῷ ῡ συνεσταλμένῳ ὀξύνεται, ὀμφὴ, μομφὴ, τροφὴ, ὀρφὴ, γλυφὴ, κορυφή.

Τὰ εἰς φη παραληγόμενα φύσει μακρᾷ ἐνὶ φωνήεντι βαρύνεται, σίφη, ἀγρίφη τὸ σκάφιον, ἀκαλήφη ἡ κνίδη. τὸ δὲ ἀλοιφὴ ὀξύνεται δύο φωνήεντα ἔχον.

Τὰ εἰς φη ὑπερδισύλλαβα κύρια ἢ παρὰ ᾰ βαρύνεται, ἀράφη, ἀνάφη, σκιδάφη, ἡ ἀλώπηξ, ἐρίφη κύριον.

Τὰ εἰς χη δισύλλαβα παραληγόμενα φωνήεντι προσηγορικὰ ὀξύνεται, ἠχὴ, βληχὴ, ψυχὴ, βρυχὴ ὁ κτύπος, βροχή. τὸ δὲ τύχη καὶ μάχη βαρύνεται.

Τὰ εἰς χη ἔχοντα ἄλλο σύμφωνον κατὰ σύλληψιν ἢ διάστασιν βαρύνεται, βάκχη, κόκχη, λέσχη, λόγχη. τὸ δὲ λογχὴ κύριον. τὸ δὲ ἀρχὴ ὀξύνεται, στοναχὴ, ταραχὴ, ἰακχὴ, ἀλωχὴ, διδαχή. τὸ δὲ μαλάχη βαρύνεται.

Τὰ εἰς χη παραληγόμενα ῑ βαρύνεται, δολίχη νῆσος, δολιχὴ δὲ ἡ μακρὰ, μαστίχη, σαμβρίχη.

Τὰ εἰς ψη οὐχ εὕρηται.

Τὰ εἰς ω̄ λήγοντα θηλυκὰ ὀξύνεται, κλωθὼ, ἐρατὼ, θεανὼ, σαπφώ.

Περὶ τόνου οὐδετέρων ὀνομάτων.

Βιβλίον ιγ'.

Πᾶν οὐδέτερον ὄνομα ὑπὲρ μίαν συλλαβὴν, παρεσχηματισμένον ἀρσενικῷ, ὁμοτονεῖ τῷ ἀρσενικῷ, φίλος, φίλον, κοῦφος, κοῦφον, καλὸς, καλὸν, χρυσοῦς, χρυσοῦν. τὸ δὲ εἷς, ἓν μονοσύλλαβον.

Πᾶν οὐδέτερον κατὰ ἀποβολὴν τοῦ σ̄ γενόμενον ἀπὸ ἀρσενικοῦ τὸν αὐτὸν τόνον φυλάττει τῷ ἀρσενικῷ, μέγας μέγα, λειπόπατρις λειπόπατρι, ταχὺς ταχὺ, ἥμισυς ἥμισυ.

Πᾶν εἰς ον̄ ἐπιθετικὸν οὐδέτερον, παρεσχηματισμένον τοῖς εἰς ος̄ λήγουσιν ἀρσενικοῖς, τούτοις φυλάττει τὸν τόνον, φιλόσοφος, φιλόσοφον, ἀχρεῖος, ἀχρεῖον, καὶ ἀττικῶς, ἄχρειος ἄχρειον.

Τὰ εἰς ους̄ λήγοντα τῶν ὀνομάτων, ἔχοντα οὐδετέρου παρασχηματισμὸν, ὁμοτονοῦσιν, χρυσοῦς χρυσοῦν, χαλκοῦς χαλκοῦν, εὔνους εὔνουν.

Τὰ εἰς ως̄ λήγοντα ἔχοντα οὐδετέρου παρασχηματισμὸν ὁμοτονοῦσιν, ἀξιόχρεως ἀξιόχρεων, ἀνάπλεως ἀνάπλεων.

Τὰ εἰς ας̄ ἔχοντα οὐδετέρου παρασχηματισμὸν ὁμοτονοῦσιν, ἅπας ἅπαν, σύμπας σύμπαν, τάλας τάλαν, μέλας μέλαν.

Τὰ ἀπὸ τῶν εἰς εις ὑπὲρ μίαν συλλαβὴν οὐδέτερα, εἰς εν λήξαντα, ἐν μὲν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον φυλάττουσι, οὐ μὴν δὲ τὸν αὐτὸν, φωνήεις φωνῆεν, αὐδήεις αὐδῆεν.

Τὰ εἰς ες οὐδέτερα τῶν εἰς ης ὀξυτόνων ὁμοτονοῦσιν αὐτοῖς, εὐσεβὴς, εὐσεβὲς, ἀληθὴς, ἀληθὲς, καὶ ἄληθες παρ' ἀττικοῖς τὸ ἐπίρρημα, ἑξαετὴς, ἑξαετὲς, τριέτης, τριέτες.

Τὰ βαρύτονα εἰς ης, ἔχοντα δὲ οὐδέτερα εἰς ες, ᾗ προπερισπώμενα αὐτὰ ἔχει ἢ προπαροξύτονα.

Τὰ μὲν οὖν διὰ τοῦ ηρης ἔχει προπερισπώμενα, ὀλιγήρης ὀλιγῆρες, θυμῆρες θυμῆρες. τὸ δὲ θυμαλγὲς ἀπὸ τοῦ θυμαλγὴς γέγονε. ξιφήρης ξιφῆρες, πλήρης πλῆρες.

Τὰ διὰ τοῦ ωδης εἰ ἔχει οὐδέτερα, προπερισπώμενα αὐτὰ ἔχει, εὐώδης εὐῶδες, γεώδης γεῶδες.

Ἔτι καὶ τὰ διὰ τοῦ ωρης, νεώρης νεῶρες, αὐτώρης αὐτῶρες, καὶ τὰ παρὰ τὸ ὅλω συντεθειμένα, ἐξώλης ἐξῶλες, πανώλης πανῶλες. τὰ δὲ ἄλλα προπαροξύνονται, ἐξαιρέτως τὰ παρ' οὐδετέρων συντεθέντα βαρύτονα, εὐμήκης εὔμηκες, κακοήθης κακόηθες, μεγακήτης μεγάκητες. καὶ τὰ παρὰ τὸ ηχη, τανυήκης τανύηκες. καὶ τὰ παρὰ τὸ αδης καὶ αρκης, αὐθάδης αὔθαδες, αὐτάρκης αὔταρκες. τὸ μέν τοι ποδάρκης βαρύτονον ἔχει τὸ ποδαρκὲς οὐδέτερον ὀξυνόμενον.

Τὰ παρὰ τὸ αντης οὐδέτερα προπαροξύνον-

ται, κατάντης κάταντες, προσάντης πρόσαντες, ἀνάντης ἄναντες, καὶ τὰ ὅμοια.

Τὰ εἰς ον μετοχικὰ ὁμοτονοῦσι τοῖς ἀρσενικοῖς, ὁ λαβὼν τὸ λαβὸν, ὁ φαγὼν τὸ φαγόν. Τῶν εἰς ων βαρυτόνων τὰ οὐδέτερα ὁμοτονοῦσι ταῖς κλητικαῖς τῶν ἀρσενικῶν, ὁ σώφρων, ὦ σῶφρον, καὶ τὸ σῶφρον, ὁ ἀγνώμων, ὦ ἀγνῶμον, καὶ τὸ ἀγνῶμον.

Τὰ ἀπὸ τῶν εἰς ην εἰς εν οὐδέτερα ὁμοτονοῦσιν αὐτοῖς, ἄρσην ἄρσεν, τέρην τέρεν.

Τὰ εἰς ᾰ λήγοντα οὐδέτερα βαρύνεται ἢ προπερισπᾶται κατὰ τὸν κανόνα, στόμα, αἷμα, βῆμα, ὄρυγμα, εὕρημα. καὶ τὰ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, ποίημα. τὸ κάρη οὐδέτερον ἀπὸ τοῦ κάρα γέγονεν. τὸ δὲ καρὴ ὀξύτονον θηλυκόν ἐστι.

Τὰ εἰς ι μονογενῆ ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, μέλι, κίλι εἶδος ἐλαίου, κόμμι τὸ κομμίδιον [55]), πέπερι, κινάβαρι, σίνηπι. τὸ δὲ τρόφι ἀπὸ τοῦ τρόφιμον γέγονεν.

Τὰ δὲ εἰς ι ἐπιθετικὰ ὁμοτονεῖ τοῖς ἀρσενικοῖς, λειπάτρις λειπάτρι.

Τὰ εἰς υ μονογενῆ ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, δόρυ, γόνυ, μέθυ, δάκρυ, πῶυ, ἄστυ, νάπυ τὸ σίνηπι.

Τὰ εἰς λεον ὀξύνεται, χαλεὸν, ἐλεὸν ἡ μαγειρικὴ τράπεζα. εἰ δὲ μὴ ἔχουσι τὸ λε, προπα-

55). κόμι τὸ κομίδιον.

ροξύνονται, ὄστρεον, ὄρνεον, δένδρεον. τὸ δὲ ὀστέον παροξύνεται ὡς δισύλλαβον· ἀπὸ γὰρ τοῦ ἵστημι στέον καὶ ὀστέον.

Τὰ εἰς ον δισύλλαβα παραληγόμενα τῷ ι μόνῳ ἢ τῇ ει διφθόγγῳ βαρύνεται, μνίον, ῥίον, σίον λαχάνου εἶδος, ἴον, δρίον, κρεῖον ἀγγεῖον κρεῶν, εἶον τὸ εἰς τὸ εἶναι ἐπιτήδειον.

Τὰ διὰ τοῦ ιον τριβράχεα ὑποκοριστικὰ προπαροξύνεται, κτένιον, πτύχιον, πόδιον, θρόνιον. εἰ μέντοι ἡ πρώτη τούτων μακρὰ ὑπάρχοι, ὑπεσταλμένων τῶν διὰ τοῦ διον παρηγμένων, παροξύνεται, κλειδίον, παιδίον, δαιδίον· οὐ γὰρ διὰ τοῦ διον, ἀλλὰ διὰ τοῦ ιον· τὸ γὰρ δ τοῦ πρωτοτύπου ἐστίν. ἔτι σφητίον, χαρτίον, ὠτίον. τὸ δὲ βούριον προπαροξύνεται· οὐ γὰρ ὑποκοριστικόν.

Τὰ διὰ τοῦ ιον τρισύλλαβα, ἔχοντα πρὸ τοῦ ι ρ ἢ λ, μὴ ὄντα ὑποκοριστικὰ, προπαροξύνεται, ἴκριον τὸ σανίδωμα, ἴτριον, ὄσπριον, ἔριον, μείλιον τὸ δῶρον, τρίβλιον. τὸ δὲ θηρίον ἔχει τὸ η καὶ ὑποκοριστικόν ἐστιν. ἔτι τὸ βιβλίον καὶ σμηλίον.

Τὰ διὰ τοῦ ιον τρισύλλαβα κύρια προπαροξύνονται, ἴλιον, δέριον, ῥήγιον, ἴσθμιον.

Τὰ διὰ τοῦ νιον ἔχοντα πρὸ τοῦ ν σύμφωνον προπαροξύνεται, χωρὶς εἰ μὴ ἔχοι ἡ πρώτη τὸ ᾱ μεθ' ἑτέρου φωνήεντος, ἄνευ τῶν ὑποκοριστικῶν, ποίμνιον, δέμνιον, παίγνιον. τὸ γὰρ ᾱ οὐκ ἔστι μόνον. φέρνιον ἡ πυρὶς τῶν ἰχθύων. τὸ δὲ ἀμνίον παροξύνεται, καὶ τὸ σκυμνίον.

Τὰ διὰ τοῦ ιον τρισύλλαβα ἔχοντα δίφθογγον ἐν τῇ ἀρχούσῃ προπαροξύνεται, μὴ ὄντα ὑποκοριστικὰ, φρούριον, παίγνιον, ποίμνιον. τὸ δὲ σχοινίον, κρουνίον ὑποκοριστικά. τὸ δὲ ὤνιον προπαροξύνεται.

Τὰ διὰ τοῦ ιον τρισύλλαβα προσηγορικὰ, ἔχοντα πρὸ τοῦ ι δύο σύμφωνα, ὧν τὸ ἓν οὐκ ἔστιν ἀμετάβολον, παροξύνεται, ἰσχίον, ἰστίον. τὸ σίλφιον καὶ φόρκιον προπαροξύνεται.

Τὰ διὰ τοῦ ηϊον προπαροξύνεται, λῃΐον, νῃΐον, σημῃΐον, μνημῃΐον.

Τὰ διὰ τοῦ διον ἀπὸ παραγωγῆς ἔχοντα τὸ δ προπαροξύνεται, μύδιον, κώδιον, βοΐδιον, βιβλίδιον. τὸ δὲ παιδίον, κλειδίον, δαιδίον ἐκ παραγωγῆς.

Πᾶν εἰς ον ὑπὲρ τρεῖς συλλαβὰς μονογενὲς κύριον ἢ προσηγορικὸν ἢ ὑποκοριστικὸν προπαροξύνεται, περγάντιον, αἰάντιον, βυζάντιον, ἀρτοπώλιον, πλοιάριον.

Τὰ διὰ τοῦ αιον μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, ἦραιον τὸ τέμενος, ἔλαιον, δίκαιον, κίρκαιον, τρόπαιον, καὶ τροπαῖον ἀττικῶς. τὸ δὲ ἀρχαῖος προπερισπᾶται.

Τὰ διὰ τοῦ αιον μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται, ἀθήναιον τὸ τέμενος, λιλύβαιον, κεφάλαιον, περιβόλαιον, χωρὶς τοῦ χαλκουστραῖον ἰατρὸς, καὶ στεφαναῖον, καὶ ἠλεκταῖον, καὶ καστραῖον.

Τὰ διὰ τοῦ ειον τρισύλλαβα προπαροξύνεται κύρια ὄντα, βούδειον, χλούνειον, σίγειον.

Τὰ διὰ τοῦ ειον τρισύλλαβα προπαροξύνονται, εἰ ἡ πρὸ τέλους συλλαβὴ εἰς φωνῆεν λήγοι, ὄνειον, κόνειον, γένειον, δάνειον. τὸ δὲ κοινεῖον προπερισπᾶται, καὶ λυχνεῖον καὶ πορνεῖον, οὐ μόνον ἔχοντα τὸ ν.

Τὰ διὰ τοῦ ειον μονογενῆ τρισύλλαβα χωρὶς τῶν εἰρημένων προπερισπᾶται, πορθμεῖον, στοιχεῖον, ἀγγεῖον, γραφεῖον, ὠδεῖον, σημεῖον.

Τὰ διὰ τοῦ ειον ὑπὲρ τρεῖς συλλαβὰς μὴ ὄντα ἐπὶ μηνῶν ἢ κύρια προπερισπῶνται, ἁπλᾶ ὄντα ἢ παρασύνθετα, θωρακεῖον, πανδοκεῖον, διδασκαλεῖον, βαλανεῖον, ἐλεγεῖον. τὸ δὲ κηρύκειον τὸν τοῦ κηρύκειος τόνον ἐφύλαξε. τὸ δὲ ὠκυτόκειον καὶ ἄλλα σύνθετα προπαροξύνεται, καὶ τὰ κτητικὰ [56]), ὥςπερ τὰ ἀρσενικὰ, ἡράπλειον, αἰάκειον, διοσκόρειον. τὸ δὲ ἡφαιστεῖον προπερισπᾶται. καὶ τὸ κορυβαντεῖον, ναὸς τῶν κορυβάντων.

Τὰ εἰς ον καθαρὸν παραληγόμενα τῷ υ βαρύνεται, πτύον, βρύον, πύον τὸ ἔμπυον, τὸ καὶ πύος, λέπυον, γήθυον, τὸ ἀμπελόπρασον.

Τὰ εἰς ον δισύλλαβα παραληγόμενα τῇ οι διφθόγγῳ ὀξύνεται, κλοιὸν ὅρος, βοιὸν, μοιὸν, τὸ αἰδοῖον. τὸ δὲ πλοιὸν προπερισπᾶται ὡς πάσχον διαίρεσιν αἰολικῶς· πλόϊον γὰρ λέγεται.

Τὰ εἰς ον δισύλλαβα μονογενῆ παραληγόμενα

56). σύνθετα. προπαροξύνεται καὶ τὰ κτητικὰ. —

τῷ ω̄ μετὰ τοῦ ῑ ἀρχόμενα ἀπὸ συμφώνου προπερισπᾶται, ζῷον, πτῷον ὄρος· τὸ μέντοι ᾠὸν ὀξύνεται· ἀπὸ φωνήεντος γὰρ ἄρχεται.

Τὰ εἰς ον̄ ὑπερδισύλλαβα μονογενῆ τῇ οῑ διφθόγγῳ παραληγόμενα ἢ τῷ ω̄ ταύτην ἔχουσι τὴν διαίρεσιν· προπαροξύνεται μέν, ὅσα σύνθετά ἐστι, ὑπεσταλμένων τῶν ἀπὸ προθέσεως, ἀκρόθοιον, ἑκατόμβοιον, εἰκοσάβοιον. τὸ δὲ μητρῷον, ἡρῷον, προπερισπᾶται, ὥσπερ καὶ τὰ ἀρσενικά. τὸ δὲ περίστῳον προπαροξύνεται. τὸ δὲ προστῷον προπερισπᾶται.

Πᾶν οὐδέτερον εἰς ον̄, πρὸ τοῦ ο̄ σύμφωνον ἔχον, ὑπερδισύλλαβον προπαροξύνεται, χέρνιβον, δάπεδον, σίτταβον, τὸ μικρὸν δέρμα. παροξύνεται δὲ ταῦτα, ῥόδον, ἔργον, φύλλον. προπερισπᾶται δὲ ταῦτα, σῦκον, φῦλον, τὸ γένος, κῶλον, κῆλον, μῆλον.

Τὰ δὲ μεταβολὴν γένους πεπονθότα ὀξύνεται, χαλινὸς, χαλινὸν, ζυγὸς, ζυγόν.

Τὰ εἰς ρον̄ δισύλλαβα προσηγορικὰ παραληγόμενα τῷ ῡ καὶ μὴ ἀρχόμενα ἀπὸ ἀμεταβόλου ὀξύνεται, σφυρὸν, πυρὸν, ξυρόν. τὸ μέντοι μύρον βαρύνεται ἀπὸ ἀμεταβόλου ἀρχόμενον.

Τὰ εἰς ρον̄ δισύλλαβα φύσει μακρᾷ παραληγόμενα βαρύνεται, δῶρον, σπεῖρον τὸ ἱμάτιον, νεῦρον, φῆρον βρῶμα θεῶν, μῆρον καὶ μηρίον. σεσημείωται τὸ πλευρόν.

Τὰ εἰς ρον̄ ὑπερδισύλλαβα παραληγόμενα τῷ ᾰ̄ ἢ τῷ ε̄ βαρύνεται, μέγαρον, βλέφαρον, γάργα-

ρον, ἔντερον, ἔλλερον τὸ κακόν. τὸ μέντοι πτερὸν διεύλλαβον, καὶ τὸ σαυρὸν τὸ μέλι ἀττικῶς.

Τὰ εἰς ρον παραλήγοντα ο ὀξύνεται, ἀνακτορὸν, σκιρόν.

Τὰ εἰς ρον ὑπὲρ δύο συλλαβὰς τῷ υ παραληγόμενα βαρύνεται, εἴτε προπαροξύνεται, ἄχυρον, πίτυρον, ἐνέχυρον, βούτυρον.

Τὰ εἰς ρον κατ' ἐπιπλοκὴν συμφώνου βαρύνεται, ῥεῖθρον, φίλτρον, κέντρον, ἄρθρον, πλέκτρον, νίτρον. σεσημείωται τὸ λουτρὸν καὶ λοετρόν.

Τὰ εἰς ρον ὑπερδισύλλαβα μακρᾷ παραληγόμενα προπαροξύνεται, ἄμηρον, ἄνδειρον, τῶν ποταμῶν τὸ χεῖλος, ἄλευρον, φθινόπωρον.

Τὰ εἰς τον δισύλλαβα ὀξύνεται, εἰ μὴ πρὸ τέλους ι ἔχοι μόνον, φυτὸν, ῥυτὸν, εἶδος ποτηρίου, βοτὸν ἡ βοτάνη. τὸ μέντοι βλίτον ἡ βοτάνη βαρύνεται.

Τὰ εἰς τον δισύλλαβα ἔχοντα σύμφωνα κατὰ σύλληψιν ὀξύνεται, λεκτὸν, δρεπτόν. τὰ δὲ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ἀμετάβολον λήγουσαν βαρύνεται, μύρτον ἡ μυρσίνη, γύντον τὸ κρέας. τὸ μέντοι παλτὸν τὸ δόρυ ὀξύνεται.

Τὰ εἰς τον ὑπερδισύλλαβα βαρύνεται, πρόβατον, ἔγκατον, ἄλφιτον, γίγαρτον. τὸ δὲ ἕρπετὸν ὀξύνεται, καὶ ἐνδυτὸν καὶ δελτωτὸν, ὡς τριγενῆ.

Τὰ εἰς ρ ὑπὲρ μίαν συλλαβὴν βαρύνεται,

ἔαρ, ὕπαρ, ὕδωρ, ἕλδωρ, δέλεαρ, ὄνειαρ. τὸ δὲ πῦρ ὡς μονοσύλλαβον περιεσπᾶται.

Τὰ εἰς ας βαρύνεται, γῆρας, κρέας, δέμας, οὖας. ἔτι τὰ εἰς ος, τεῖχος, βέλος, πέλαγος, ὄνειδος. αἱ δὲ μετοχαὶ ὀξύνονται, τὸ τετυφὸς, πεποιηκός.

Τὰ εἰς ες μονογενῆ προπαροξύνεται, κυνόσαργες, ὄμαργες, τὸ ὁμοσυμφωνοῦν [57]), πεύκαες, τὸ πικρὸν, ῥώπαες, τὸ ἀλσώδες. τὰ δὲ ἐπιθετικὰ ὀξύνεται, ὥσπερ καὶ τὰ ἀρσενικὰ, εὐσεβὲς, εὐγενές. τὰ μονοσύλλαβα τῶν στοιχείων περισπῶνται, μῦ, νῦ, ξῦ, οῦ, πῖ, ῥῶ, ταῦ, φῖ, χῖ, ψῖ, ὦ.

Περὶ μονοσυλλάβων ὀνομάτων.

Βιβλίον ιδ'.

Πᾶν μονοσύλλαβον σύδέτερον ἔχον φύσει μακρὰν, εἴτε ἀπαθὲς εἴη, εἴτε πεπονθὸς, περισπᾶται. πᾶν ἀπὸ τοῦ πᾶς, καὶ τὸ δῶ ἀπὸ τοῦ δῶμα, καὶ τὸ φᾶρ τὸ ἱμάτιον ἀπὸ τοῦ φᾶρος, καὶ κρῖ, σταῖς, στῆρ τὸ στέαρ, οὖς, ὡς, φῶς, πῦρ. τὰ δὲ ἔχοντα βραχεῖαν ὀξύνεται, ὄν, τὶς, τί.

Πᾶν ὄνομα μονοσύλλαβον εἰς ν λῆγον ἀρσενικὸν καὶ θηλυκὸν ὀξύνεται, πὰν, ὁ δαίμων, ἂν, κύριον, ζὴν, μὴν, χὴν, ῥὴν, τὸ θρέμμα, χωρὶς τοῦ θῶον (sic) θῶντος, κύριον.

---

57) συμ
ὁμοφανοῦν (sic).

Τὰ εἰς ις μονοσύλλαβα ὀξύνεται, ἶν, ἶς, ῥὶς, ῥὶν, λὶς ὁ λέων, τὶς, ὅπερ συστέλλει τὸ ι, δὶς, διὸς, ὁ ζεύς.

Τὰ εἰς ξ μονοσύλλαβα ὀξύνεται, πλὰξ, δρὰξ, γλὰξ βοτάνη γαλακτοποιὸς, σὰρξ, λὲξ ἔθνος, φλὸξ, προὶξ, στὶξ ἡ τάξις, ὅλξ, αἶξ, καὶ τοῦτο οἱ ἀττικοὶ προπερισπῶσι (sic), καὶ τὸ θρεξ (sic) [58]) καὶ βῶξ.

Τὰ εἰς ρ ἀρσενικὰ καὶ θηλυκὰ μονοσύλλαβα ὀξύνεται, πὰρ, κὰρ, σὴρ, θὴρ, κὴρ ἡ θανατηφόρος μοῖρα, χεὶρ, φθεὶρ, φὼρ ὁ κλέπτης. τὸ μέντοι πῦρ, στῆρ, κῆρ τὸ κέαρ, ὡς οὐδέτερα περισπᾶται.

Τὰ εἰς ας μονοσύλλαβα, εἰ μὲν ἀποβολῇ τοῦ σ τὴν γενικὴν ποιοῦσι, περισπῶνται ὁ γραῦς (sic) τοῦ γρᾶ, ὁ θᾶς τοῦ θᾶ, ὁ χνᾶς τοῦ χνᾶ, δᾶς, βᾶς, λᾶς, πᾶς πᾶ ὁ πατήρ. ζὰς ὁ ζεὺς, φθὰς, κρὰς ἡ κεφαλή. τὸ μέντοι πᾶς παντὸς τριγενές.

Τὸ ναῦς καὶ γραῦς περισπᾶται, καὶ τὰ εἰς αις μονοσύλλαβα, παῖς, σταῖς. τὸ δὲ δαὶς ὀξύνεται.

Τὰ εἰς εις μονογενῆ ὀξύνονται, μεὶς ὁ μὴν, κλεὶς, κτεὶς. τὸ μέντοι εἷς περισπᾶται ὡς τριγενές.

Ἔτι καὶ τὰ εἰς οις περισπᾶται, φθοῖς, οἷς.

Τὰ εἰς ευς μονοσύλλαβα ὀξύνεται, ζεὺς,

58) θραῖξ.

φθεὺς ὁ διόνυσος, εὖς ποταμὸς, δνεύς[59]). τὸ μέντοι εὖς ἡ ναῦς[60]) περισπᾶται, ὥσπερ καὶ τὸ γρεῦς.

Τὰ εἰς ους μονοσύλλαβα περισπᾶται, βοῦς, πλοῦς, φοῦς, χροῦς, καὶ τὸ οὖς οὐθέτερον. τὸ δὲ πους ὀξυνόμενον, καὶ τὸ δους μετοχή.

Τὰ εἰς ης κατὰ διάλεκτον γινόμενα ἐκεῖνον ἔχει τὸν τόνον, ὁποῖον καὶ τὰ πρωτότυπα, μὴν, μὴς, δαὶς, δὴς, παῖς, πῆς, εἶς, ἦς. τὸ δὲ πρῆς ἀπὸ τοῦ πρέας καὶ οὐθέτερον ὂν περισπᾶται.

Τὰ εἰς ης μονοσύλλαβα τυχόντα φυσικῆς καταλήξεως ἢ ὀξύνεται ἢ περισπᾶται. καὶ ὀξύνεται μὲν τὰ περιττοσυλλάβως κλινόμενα, κρὴς, σὴς, γνὴς ὁ ῥόδιος· περισπᾶται δὲ τὰ ἰσοσύλλαβα, δῆς, ἦς κύριον.

Τὰ εἰς υς μονοσύλλαβα περισπῶνται, μῦς, δρῦς, σῦς καὶ ὗς.

Τὰ εἰς ψ μονοσύλλαβα ὀξύνεται, κνὰψ ὁ δειλὸς, μὰψ, ὄρνεόν τι, φλὲψ, ἶψ, ὁ σκώληξ, λὶψ, ῥονὶψ, ὄνομα κνίσσης, καὶ κνίψ.

Τὰ εἰς ως ἀρσενικὰ μονοσύλλαβα περιττοσύλλαβα ὀξύνεται, τρὼς, θὼς, πλὼς ἰχθύς τις. τὸ μέντοι κατὰ διάλεκτον τροπῇ γινόμενον, βῶς, ἀπὸ τοῦ βοῦς βοὸς, περισπᾶται. τὰ μέντοι ἰσοσύλλαβα περισπῶνται, σῶς, κρῶς, γλῶς, κῶς, ὀνό-

59) δνεῦς.

60) τὸ μέντοι νεῦς ἡ ναῦς.

ματα ἡρώων, χωρὶς τοῦ ζώς· καὶ τὸ δὼς ὀξύνεται.

Τὰ εἰς ω̄ς οὐδέτερα περισπᾶται, τὸ φῶς, τὸ ὦς.

Καὶ ταῦτα μὲν περὶ τόνου τῆς ὀνομαστικῆς. περὶ δὲ τῶν πλαγίων νῦν ἔπεται εἰπεῖν· καὶ πρὸ τούτου, ὅτι ἡ ὀξεῖα καὶ ἡ περισπωμένη λέξεών εἰσι τόνοι, ἡ δὲ βαρεῖα συλλαβῶν.

Περὶ τόνου τῆς ἑνικῆς γενικῆς.

Βιβλιον ϛ΄.

Πᾶσα γενικὴ ὀνόματος κοινῆ, ἀπαθὴς, ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ εὐθεῖα, χωρὶς εἰ μὴ ἕτερος λόγος κωλύσῃ, ὑπεσταλμένων τῶν εἰς ω̄ς δισυλλάβων γενικῶν, αἴαντος ἐκ τοῦ αἴας, λέβης λέβητος, ἐπὶ τῆς πρώτης, ταχὺς ταχέος, ὀξὺς ὀξέος, ἐπὶ τῆς δευτέρας, ἀχιλλεὺς ἀχιλλέως, εὐγενὴς εὐγενέος, ἐπὶ τῆς τρίτης. Τὰ μέντοι προπαροξύτονα ἐπὶ τῆς εὐθείας οὐ φυλάττει τὸν κανόνα, ἐπεὶ ἀδύνατόν ἐστι πρὸ τῶν τριῶν συλλαβῶν δοθῆναι τόνον, ἄδωνις ἀδώνιδος, φίλημα φιλήματος. ἔτι τὸ ὅμηρος ὁμήρου, ἄνθρωπος ἀνθρώπου, οὐ φυλάττει, ἀλλὰ καταβιβάζει· διότι μακρᾶς οὔσης τῆς ληγούσης οὐ δύναται προπαροξυνθῆναι λέξις, εἰ μὴ ἐπὶ τῶν ἀττικῶν. διὸ ὅμηρος, ἄελαι, προπαροξύνεται κοινῶς, παραλαμβανομένης τῆς διφθόγγου ἐν τέλει λέξεως οὔσης, ἐπὶ τῆς εὐθείας πλητικῆς, ἐν δὲ τοῖς ἄλ-

λοις οὖ. οὕτω καὶ ἐπὶ ἄλλων πολλῶν, τύπτονται, πεποίηνται, τύπτεσθαι, λέγεσθαι. προστίθησι δὲ ὁ τεχνικὸς, ὅτι τὸ μητρὸς καὶ ἀνδρὸς καὶ πατρὸς ἀπὸ τοῦ μητέρος καὶ ἀνέρος καὶ πατέρος ἐγένετο κατὰ συγκοπὴν, διὸ οὐκ ἐφύλαξαν τὸν τόνον, ἀκολουθήσαντα τοῖς ἰδίοις συγγενέσι, πατέρος, μητέρος, ἀνέρος. ἔτι ἡμάρτηται καὶ ὁ τόνος τῆς γυναικὸς καὶ θυγατρός. τὸ δὲ ἴα ἰᾶς καὶ μία μιᾶς διαφορεῖ κατὰ τὸν τόνον ἔθει ἰωνικῷ, καὶ ἐν τῇ δοτικῇ ἰᾷ καὶ μιᾷ. πᾶσα γὰρ γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπὶ τέλους ἔχουσα τὸν τόνον περισπᾶται.

Αἱ εἰς ος δισύλλαβοι γενικαὶ ἐπὶ ὀνομάτων ὀξύνεται, φωτὸς, μηνὸς, γραὸς, παιδὸς, ἀνδρὸς, πατρὸς, χωρὶς εἰ μὴ ἀπὸ συναιρέσεως εἴη, ἢ διαστολὴν σημαίνοι, ἢ χαρακτῆρι ἀκολουθήσοι[61]). ἀπὸ συναιρέσεως μὲν, ὡς τὸ λᾶος ἀπὸ τοῦ λάαος, κράσει τῶν δύο αα εἰς ἓν μακρὸν, κέαρ κέαρος, ἔαρ ἔαρος καὶ ἦρος· καὶ πάλιν υἷις ὕϊος καὶ υἱος. τὸ δὲ θῶνος ἀπὸ τοῦ θώνιδος καὶ θώνιος ἰωνικῶς, καὶ κράσει θῶνος· ἢ ἀπὸ τοῦ θώνιος εὐθείας κατὰ συγκοπήν· πρὸς ἀντιδιαστολὴν δὲ ἑτέρου σημαινομένου, τίνος τινός. πρόσκειται, εἰ μὴ χαρακτῆρι ἀκολουθήσει, διὰ τὸ φθὰς φθάντος κύριον ἀκολουθῆσαν ταῖς μετοχαῖς.

Περὶ τόνου τῆς ἑνικῆς δοτικῆς.

Πᾶσα δοτικὴ ἑνικὴ ἰσοσυλλαβοῦσα τῇ γενικῇ

61) ἀκολουθήσῃ.

ἐνικῇ καὶ ὁμοτονεῖ αὐτῇ, καλοῦ καλῷ, φωτὸς φωτί, ἀνδρὸς ἀνδρί, μητρὸς μητρί, τινὸς τινί, κηρὸς κηρί. πρόσκειται ἰσοσυλλάβως, διὰ τὸ παχέος παχεῖ, ἥτις διὰ τὴν συναίρεσιν οὐκ ἰσοσυλλαβεῖ τῇ γενικῇ· τὸ δὲ παχεῖ ἰσοσυλλαβεῖ. λέγει δὲ ὁ τεχνικὸς, ὅτι αἱ μεταπεπλασμέναι δοτικαὶ ἔχουσαι τὸ ι προπαροξύνονται, εἰ μὴ δυσυλλαβία (sic) κωλύσῃ, ὁ πολυπάταγος, τοῦ πολυπατάγου, τῷ πολυπατάγῳ, καὶ κατὰ μεταπλασμὸν πολυπάταγι ἀναβιβάζει· αἱ γὰρ συγκοπαὶ ἀναβιβάζουσιν, ὀπίσωθεν ὄπισθεν, ὁμόπατρος ὄπατρος. τὸ δὲ πατρὸς καὶ ἀνδρὸς καὶ τὸ μητρὸς συγκοπέντα ἠκολούθησε τῷ χαρακτῆρι τῶν εἰς ος δισυλλάβων γενικῶν. τὸ δὲ κλάδος, κλάδου, κλάδῳ, καὶ κατὰ μεταπλασμὸν κλαδὶ καταβιβάζει διὰ τὴν δυσυλλαβίαν (sic), καθ' ὁμοιότητα τῷ μηνὶ καὶ παιδὶ καὶ ἀνδρὶ, χωρὶς εἰ μὴ ἀπὸ συναιρέσεως εὑρεθῇ, πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου, ἢ χαρακτῆρι ἀκολουθήσει, ὡς εἴρηται.

Δεῖ δὲ προσθεῖναι τῷ κανόνι τῶν μεταπεπλασμένων δοτικῶν, χωρὶς τῶν ἀπὸ τῶν εἰς κη θηλυκῶν φύσει μακρᾷ παραληγομένων, οἷον ἡ ὑσμίνη, τῆς ὑσμίνης, τῇ ὑσμίνῃ καὶ ὑσμῖνι, ἡ δωδώνη, τῆς δωδώνης, τῇ δωδώνῃ καὶ δωδῶνι.

Περὶ τόνου τῆς αἰτιατικῆς.

Πᾶσα αἰτιατικὴ ἐνικῶν ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ γενικὴ, πλὴν τῶν εἰς ᾱ δισυλλάβων, ἀβλῆτος ἀβλῆτα, λιμένος λιμένα, διομήδεος διομήδεα, καλοῦ καλὸν, εἰ

μὴ τὸν αὐτὸν φυλάττει τόνον διὰ τὸν κανόνα, ἀλλ' ἐπὶ τῇ αὐτῇ συλλαβῇ. τὸ μέντοι ὁρμήρου ὅ-μηρον διαφορεῖ· διότι καὶ δοτικὴ κατὰβεβάίζει, μακρᾶς οὔσης τῆς ληγούσης. σημείωσαι τὸ γυναικὸς δγυναῖκα, καὶ θυγατρὸς θύγατρα, ἀναβιβάζουσιν· ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς ᾱ λήγουσα ἀπέστραπται τὴν ὀξεῖαν τάσιν, αἴαντος αἴαντα. τὸ δὲ τινὰ ὀξύνεται εἰς διαφορὰν τοῦ τίνα. τὸ δὲ ἐρετριᾶ καὶ πειρεᾶ καὶ στειρεᾶ κατὰ κρᾶσιν τοῦ ᾱ καὶ ᾱ. λοὴ δὲ ὀξεῖα καὶ ἡ βαρεῖα τὴν περισπωμένην ἐποίησαν, ὥσπερ εἰς τὸ παῖς παῖς, ἡρακλέης ἡρακλῆς. ἐξ ὀξείας γὰρ καὶ βαρείας περισπωμένη γίγνεται. πρόσκειται τῷ κανόνι, πλὴν τῶν εἰς ᾱ ληγουσῶν δισυλλάβων αἰτιατικῶν, διότι αὗται μόναι βαρύνονται, μῆνα, φῶτα, τῶν γενικῶν αὐτῶν ὀξυνομένων.

Αἱ μέντοι εἰς ν̄ λήγουσαι μονοσύλλαβοι αἰτιατικαὶ μακρὰν ἔχουσαι τὴν λήγουσαν περισπῶνται, μῦν, σῦν, δρῦν, λῖν, ναῦν, γραῦν, γῆν, θεῦν, τὴν θέσιν κατὰ κρᾶσιν, κλεῖν.

Περὶ τόνου τῆς κλητικῆς.

Πᾶσα κλητικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ εὐθεῖα, καὶ μὴ [62]) τὸν αὐτὸν, διὰ τὸν κανόνα τοῦ τόνου, αἷας, αἷαν, ἀχιλλεὺς, ἀχιλλεῦ. ὁ γὰρ αἷας ὀξύνεται· μακρὰ γὰρ πρὸ μακρᾶς οὐ περισπᾶται. τὸ δὲ αἷαν προπερισπᾶται, τοῦ ἂν βραχέος ὄντος. πᾶσα γὰρ φυ-

62) εἰ καὶ μὴ pro καὶ μή.

σῦ. μακρὰ πρὸ βραχέος ἐν ἑνὶ μέρει οὖσα περισπᾶται. τὸ δὲ ἀχιλλεὺς ὀξύνεται· τὰ γὰρ εἰς ευς κοινῶς ὀξύνονται· ἡ δὲ κλητικὴ περισπᾶται. πᾶσα γὰρ δίφθογγος.

Περὶ τόνου τῆς δυϊκῆς εὐθείας.

Αἱ εἰς αι λήγουσαι εὐθεῖαι τῶν δυϊκῶν ὁμότονοί εἰσι τῇ εἰς ᾰ ληγούσῃ αἰτιατικῇ ἑνικῇ, ἀβλήτα ἀβλήτε, λιμένα λιμένε, γυναῖκα γυναῖκε, θυγατέρα θυγατέρε. προστίθεται τῷ κανόνι, εἰ μὴ ἄλεκτός εὑρεθῇ, τουτέστι μὴ λέγεται ἡ εἰς ᾰ λήγουσα αἰτιατικὴ. τότε γὰρ ἡ εὐθεῖα εἰς ε̆ ὁμοτονεῖ τῇ γενικῇ, μάντεως μάντεε, τείχεος τείχεε, πόλεως πόλεε.

Ἔτι δεῖ προσθεῖναι, χωρὶς τῶν ὀξυτόνων γενικῶν, ἐπὶ τούτων γὰρ ἡ εὐθεῖα οὐχ ὁμοτονεῖ, μυὸς μῦε, σῦς σῦε, δρυὸς δρῦε, λιὸς λίε.

Αἱ εἰς ᾱ λήγουσαι εὐθεῖαι δυϊκαὶ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχουσι τὸν τόνον, ἐφ᾽ ἧς καὶ ἡ γενικὴ ἑνικὴ, ἀέλλης ἀέλλα, θυέλλης θυέλλα, ὁμήρου ὁμήρω, ἀνθρώπου ἀνθρώπω, καλοῦ καλῶ, εἰ καὶ μὴ διὰ τὸν κανόνα τὸν αὐτὸν τόνον· ἡ γὰρ δυϊκὴ εὐθεῖα ἀπέστραπται τὴν περισπωμένην, σοφῶ, ἀγαθῶ, ἡ δὲ γενικὴ καὶ δοτικὴ ἐπὶ τέλους μακροκατάληκτος περισπᾶται. τὸ δὲ ἄμφω καὶ δύο θεματικά εἰσι.

Περὶ τόνου τῆς δυϊκῆς γενικῆς.

Ἡ γενικὴ δυϊκὴ εἰς αιν λήγουσα ὁμοτονεῖ τῇ ἰδίᾳ ὀνομαστικῇ, πέρσα πέρσαιν, αἰνεία αἰνείαιν·

οὐ πᾶσα δὲ τὸν αὐτόν· ποιητὰ γὰρ ποιητᾶν, καλὰ καλαῖν, διὰ τὸν κανόνα.

Ἔτι αἱ εἰς οιν ὁμοτονοῦσι τῇ ἰδίᾳ εὐθείᾳ τῇ εἰς ω, καλλίστω καλλίστοιν, ἐρήμω ἐρήμοιν· οὐ πᾶσα δὲ τὸν αὐτὸν, καλῶ γὰρ καλοῖν διαφορεῖ, καὶ σοφῶ σοφοῖν, καὶ χωρὶς τοῦ ἄμφω ἀμφοῖν, καὶ δύο δυοῖν καὶ δυεῖν ἐπὶ θηλυκοῦ, ὡς φασιν, κατὰ τροπὴν τοῦ ὸ εἰς ε.

Εἰ δὲ ἡ εἰς οιν γενικὴ ἀπὸ εὐθείας τῆς εἰς ες λογίνοιτο, τότε ὁμοτονεῖ τῇ γενικῇ πληθυντικῇ, ἀνδρῶν ἀνδροῖν, φωτῶν φωτοῖν ἐπὶ ἀνδρῶν, φώτων δὲ φώτοιν ἐπὶ πυρσῶν, πάντων πάντοιν, χειρῶν χειροῖν καὶ χεροῖν, παίδων παίδοιν.

Πᾶσα πλητικὴ δυϊκὴ καὶ πληθυντικὴ ὁμοτονεῖ τῇ ἰδίᾳ εὐθείᾳ.

Περὶ τόνου τῆς πληθυντικῆς εὐθείας.

Πᾶσα εὐθεῖα πληθυντικὴ εἰς ες λήγουσα ὁμοτονεῖ τῇ εὐθείᾳ τῶν δυϊκῶν, ἕκτορε ἕκτορες, αἴαντε αἴαντες, γυναῖκε γυναῖκες, μητέρε μητέρες.

Αἱ εἰς οι εὐθεῖαι ὁμοτονοῦσι τῇ ἑνικῇ εὐθείᾳ, ὅμηρος ὅμηροι, ἄνθρωπος ἄνθρωποι, πλησίος πλησίοι, καλὸς καλοί, χρυσοῦς χρυσοῖ.

Ἔτι αἱ εἰς αι εὐθεῖαι μονογενεῖς οὖσαι ὁμοτονοῦσι τῇ ἑνικῇ εὐθείᾳ, κοχλίας κοχλίαι, τοξότης τοξόται, μοῦσαι, ὅτι μοῦσα, ἄελλα [63]) ἄελλαι, ἀτρείδης ἀτρεῖδαι, εἰ καὶ μὴ τὸν αὐτὸν διὰ

63) τοξόται, μοῦσαι μοῦσαι, ἄελλα.

τὸν κανόνα· ἡ γὰρ αι̅ ἀντὶ κοινῆς παραλαμβάνεται.

Αἱ εἰς αι̅ εὐθεῖαι παρεσχηματισμέναι ἀρσενικοῖς ὁμοτονοῦσι ταῖς εὐθείαις τῶν ἰδίων ἀρσενικῶν, τύπτοντες τύπτουσαι, χαρίεντες χαρίεσσαι, ταχέες ταχεῖαι, εἰ καὶ μὴ τὸν αὐτὸν τόνον, ἐναντίοι ἐναντίαι, βυζάντιοι βυζάντιαι, ἥμεροι ἥμεραι, τὸ τριγενές· ἥμεραι δὲ τὸ μονογενές. οἱ δὲ ἀθηναῖοι παροξύνουσί τινα μονογενῆ, ἥμεραι, εὐπρέπειαι, τιμωρίαι, αἰτίαι.

Αἱ εἰς ᾱ λήγουσαι εὐθεῖαι τῶν οὐδετέρων τριγενεῖς μὲν οὖσαι ὁμοτονοῦσι ταῖς εὐθείαις τῶν ἰδίων ἀρσενικῶν, φίλοι φίλα, ἐναντίοι ἐναντία, ὤγιοι ὤγια, δίκαιοι δίκαια, τύπτοντες τύπτοντα. μονογενεῖς δὲ οὖσαι, εἰ μὴ ἀπὸ ἰσοσυλλάβων γενικῶν, ὁμοτονοῦσι τῇ ἑνικῇ εὐθείᾳ, ξύλον ξύλα, δένδρον δένδρα, λουτρὸν λουτρά. εἰ δὲ ἀπὸ γενικῶν περιττοσυλλάβων ὧσι, βαρύνονται, πῦρ πυρὸς πύρα, φίλημα φιλήματα, ὦς ὠτὸς ὦτα, φῶς φωτὸς φῶτα.

Περὶ τόνου τῆς πληθυντικῆς γενικῆς.

Πᾶσα εὐθεῖα πληθυντικὴ εἰς ες̅ λήγουσα δισύλλαβος ἐπὶ ὀνομάτων περισπᾷ τὴν ἰδίαν γενικὴν, χῆνες χηνῶν, φῶτες φωτῶν, ἄνδρες ἀνδρῶν, χεῖρες χειρῶν. πρόσκειται δισύλλαβος, διὰ τὰ ὑπερδισύλλαβα, αἴαντες αἰάντων, λάχητες λαχήτων παροξυτόνως. πρόσκειται ὀνόματα, διὰ τὰς μετοχὰς, δόντες δόντων, στάχτες στάντων. σεση-

μείωσιν τῶν μὴ περισπᾶσθαι, τρῶες τρώων, τίνες τίνων, πάντες πάντων, παῖδες παίδων, θῶες θώων, κρᾶτες κράτων, αἱ κεφαλαί, δᾶδες δᾴδων, λάες λάων, δμῶες δμώων. χωρὶς δὲ τούτων εἰσὶ καὶ ἕτερα, σέες σέων, ἐπὶ τῶν σκωλήκων, καὶ φῶδων, οὐδένων, φθάντων. ἔστι δὲ εἰπεῖν περὶ ὅλων τῶν σεσημειωμένων, ὅτι τὰ εἰς ος λήγοντα μονοσύλλαβα κατὰ τὴν γενικὴν, τὰ μὲν ὀξύτονα, ἐὰν διὰ συμφώνων κλίνοιντο, περισπῶνται κατὰ δευτέραν γενικὴν πληθυντικὴν, σὴς σητὸς, σῆτες σητῶν, κρὴς κρητὸς, κρῆτες κρητῶν. ἐὰν δὲ διὰ καθαροῦ τοῦ ος κλιθῶσι, βαρύνονται κατὰ τὴν γενικὴν πληθυντικὴν, τρὼς τρωὸς, τρῶες τρώων, δμὼς δμωὸς, δμῶες δμώων. τὸ δὲ τίνων εἰς διαφορὰν τῶν τινῶν, καὶ τὸ κράτων, τῶν κεφαλῶν, εἰς διαφορὰν τῶν κρατῶν ἀπὸ τοῦ κρατὸς (sic) ἡ ἀρχή. τὸ δὲ φῴδων καὶ δᾴδων ἀπὸ τῶν φωΐδων καὶ δαΐδων.

Τὰ δὲ περισπώμενα ἐκ τοῦ ἐναντίου γίνεται. ἐὰν μὲν διὰ καθαροῦ τοῦ ος κλίνοιτο, περισπῶσι τὰς γενικὰς πληθυντικὰς, μῦς μυὸς, μῦες μυῶν, βοῦς βοὸς, βόες βοῶν, δρύες δρυῶν, σύες συῶν. ἐὰν δὲ διὰ συμφώνων, βαρύνονται, παῖς παιδὸς, παῖδες παίδων, πάντες πάντων. τὸ δὲ λάων ἐβαρύνθη εἰς διαφορὰν τῶν λαῶν.

Ἔτι αἱ εἰς αι λήγουσαι πληθυντικαὶ εὐθεῖαι ἀρσενικαὶ μὲν οὖσαι περισπῶσι τὴν ἰδίαν γενικὴν, ὀρέσται ὀρεστῶν, τοξόται τοξοτῶν, ἀτρειδᾶι ἀτρειδῶν, αἰνείαι αἰνειῶν, χωρὶς τοῦ χλοῦναι χλούνων, καὶ χρήστων καὶ ἐτησίων. θηλυκαὶ δὲ οὖσαι, εἰ

μὲν μονογενεῖς ὦσι, περισπῶσι τὰς ἰδίας γενικὰς, μοῦσαι μουσῶν, ἄελλαι ἀελλῶν, κλίναι κλινῶν, πλὴν τοῦ ἀφύαι ἀφύων, εἰς διαστολὴν τῶν ἀφυῶν. εἰ δὲ παρεσημασμέναι ἀρσενικοῖς, ἐὰν ὁμοφωνήσωσι τῇ γενικῇ τῶν ἰδίων ἀρσενικῶν, ὁμοτονοῦσιν αὐτῇ, οἱ ῥόδιοι τῶν ῥοδίων, μία φωνὴ καὶ εἷς τόνος, οἱ βυζάντιοι τῶν βυζαντίων, αἱ βυζάντιαι τῶν βυζαντίων, αἱ ῥόδιαι τῶν ῥοδίων. εἰ δὲ παραλλάξωσι τῇ φωνῇ πρὸς τὴν γενικὴν πληθυντικὴν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ τὸν τόνον παραλλάσσει καὶ περισπῶνται αἱ γενικαὶ θηλυκαὶ, οἱ μέλανες τῶν μελάνων, αἱ μέλαιναι τῶν μελαινῶν, οἱ τάλανες τῶν τάλανων, αἱ τάλαιναι τῶν ταλαινῶν, οἱ γράψαντες τῶν γραψάντων, αἱ γράψασαι τῶν γραψασῶν. ὅτε δὲ κατὰ διάλεκτον ἡ γενικὴ τροπὴν ὑπομένει τοῦ ων εἰς αν, περισπᾶται, ψυανεᾶν, ἀμφοτεραῖν. τὰ δὲ οὐχ ὁμοτονοῦντα ταῦτα, πόρνοι πόρνων, πόρναι πορνῶν, βάκχοι βάκχων, ὄχθοι ὄχθων, ὄχθαι ὀχθῶν, πέτροι πέτρων, πέτραι πετρῶν, χῆροι χήρων, χῆραι χηρῶν, κοῦροι κούρων, κοῦραι κουρῶν. ἐπὶ τούτων γὰρ αἱ γενικαὶ πληθυντικαὶ περισπῶνται, καίπερ τῶν ἀρσενικῶν ὁμοφωνουσῶν καὶ βαρυνομένων. ὅτι τὰ θηλυκὰ ὡς μονογενῆ περιεσπάσθησαν. οὐ γὰρ ἐκ τῶν ἀρσενικῶν ἐγένοντο, ἀλλὰ τὰ ἀρσενικὰ ἐξ αὐτῶν, οὕτω καὶ παιδίσκοι παιδίσκων, καὶ παιδίσκαι παιδισκῶν.

Αἱ εἰς ες εὐθεῖαι πληθυντικαὶ ὑπερδισύλλαβοι μὲν οὖσαι βαρύνουσι τὰς ἰδίας γενικὰς, αἴαντες αἰάντων, θόαντες θοάντων, λάχητες λαχήτων,

χωρὶς τοῦ γυναῖκες γυναικῶν, καὶ θυγατέρες θυγατρῶν, ἑπόμεναι τῷ τέκνῳ τοῦ τόκου τῆς γενικῆς ἑνικῆς, καὶ χωρὶς τῶν παρ' ἀθηναίοις ἀριθμητικῶν τοῦ χιλιάδων καὶ μυριάδων. ταῦτα γὰρ παρ' αὐτοῖς περισπῶνται, παρ' ἡμῖν δὲ βαρύνονται.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι, ἐὰν εὑρεθῶσιν, ὁμοφωνοῦσαι ἀπὸ τῶν εἰς ες πληθυντικῶν εὐθειῶν γενικαὶ γενικαῖς ἀρσενικῶν περισπωμέναις, οὐκ ἀναγκάζονται καὶ ὁμοτονεῖν αὐταῖς, οἷον οἱ ἡλιάδαι τῶν ἡλιαδῶν, αἱ ἡλιάδες τῶν ἡλιάδων, οἱ δαναΐδαι τῶν δαναΐδων (sic), αἱ δαναΐδες τῶν δαναΐδων, οἱ πριαμίδαι τῶν πριαμιδῶν, αἱ πριαμίδες τῶν πριαμίδων. ἐν τούτοις αἱ τῶν ἀρσενικῶν γενικαὶ περισπῶνται, αἱ δὲ τῶν θηλυκῶν βαρύνονται.

Αἱ μέντοι εἰς ες εὐθεῖαι καὶ εἰς κατὰ διαίρεσιν γινόμεναι περισπῶσι τὴν συνηρημένην γενικὴν πληθυντικήν, οἱ δημοσθένεες καὶ δημοσθένεις, τῶν δημοσθενέων καὶ δημοσθενῶν, εὐσεβέες εὐσεβεῖς, εὐσεβέων εὐσεβῶν. τὸ δὲ δυσώδων παραλόγως ἐβαρύνθη. καὶ τὸ τριήρων, οἱ μὲν βαρύνουσιν, οἱ δὲ περισπῶσιν, ὥσπερ καὶ αὐτάρκων, καὶ τὸ συνήθων καὶ κακοήθων βαρύνεται, ὥσπερ καὶ τὰ αὐτῶν ἐπιρρήματα.

Αἱ μέντοι ὑπολειπόμεναι πληθυντικαὶ γενικαί, αἱ μὲν ὑποπίπτουσαι τούτοις τοῖς κανόσιν ἀκολουθοῦσι τῇ γενικῇ τοῦ βύκου, φίλοιν φίλων, ἀνθρώποιν ἀνθρώπων. καὶ οὕτως αἱ εἰς οι ὀλήγουσαι εὐθεῖαι πληθυντικαί, εἰ μὲν βαρύνονται,

βαρύνουσι τὰς γενικὰς; δοῦλοι δούλων, κοῦφοι κούφων, νυμφίοι νυμφίων, ὄμηροι ὁμήρων, τίμιοι τιμίων. αἱ δὲ εἰς οι εὐθεῖαι ὀξύτονοι περισπῶσι τὰς γενικὰς αὐτῶν, σοφοὶ σοφῶν, καλοὶ καλῶν, χρυσοῖ χρυσῶν.

Αἱ δὲ εἰς ᾶ οὐδέτεραι, εἰ μέν εἰσι τριγενεῖς, ὁμότονον ἔχουσι τὴν γενικὴν αὐτῶν τῇ γενικῇ τῶν ἰδίων ἀρσενικῶν, φίλοι φίλων, φίλα φίλων, κοῦφοι κούφων, κοῦφα κούφων, σοφοὶ σοφῶν, σοφὰ σοφῶν. εἰ δέ εἰσι μονογενῆ τὰ ὀνόματα ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχοντα τὸν τόνον, ἐν τῇ αὐτῇ καὶ αἱ γενικαὶ αὐτῶν ἔχουσιν, εἰ καὶ μὴ τὸν αὐτὸν, τὰ ξυρὰ τῶν ξυρῶν, τὰ πτερὰ τῶν πτερῶν, τὰ ὀστὰ τῶν ὀστῶν, τὰ κανὰ τῶν κανῶν. ἐὰν δὲ αἱ ὀνομαστικαὶ βαρυνθῶσι, καὶ αἱ γενικαὶ αὐτῶν ὁμοίως, ὀστέα ὀστέων, γοῦνα γούνων, ποιήματα ποιημάτων, κέρατα κεράτων. καταβιβάζουσι τὸν [64]) τόνον ἔνια, μακρᾶς οὔσης τῆς λήγουσης.

Περὶ τόνου τῆς δοτικῆς πληθυντικῆς.

Ἡ δοτικὴ πληθυντικὴ ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ δοτικὴ ἑνικὴ, καλῷ καλοῖς, σοφῷ σοφοῖς, μενελάῳ μενελάοις, ἀέλλᾳ ἀέλλαις, χωρὶς τοῦ παντὶ πᾶσι. κανὼν γάρ, ὅτι πᾶσα δοτικὴ εἰς ι ἐκφωνούμενον λήγουσα δισύλλαβος ἐπὶ μετοχῆς βαρύνεται, βᾶσι, στᾶσι, δοῦσι· ἐπὶ δὲ ὀνομάτων ὀξύνονται, τρωσὶ, βου-

64) καταβιβάζουσι δὲ τὸν.

τελευταίαν θέσει μακρὰν, διὰ τὸ φοίνιξ καὶ κῆρυξ· τούτων γὰρ προηγουμένων οὐ γίνεται ἔγκλισις, φοῖνιξ ἐστὶ, κῆρυξ ἐστίν. Ἐὰν δὲ εὑρεθῇ λέξις ὀξύτονος ἢ προηγουμένη οὖσα περισπωμένη, προηγεῖται δὲ τοῦ ἐγκλιτικοῦ[66]), φυλάττεται ἡ ὀξεῖα καὶ ἡ περισπωμένη, οἷον ζεὺς, ζεύς τε, καλῶς, καλῶς μοι, σαφῶς, σαφῶς γε, κανόνος λέγοντος, ὅτι πᾶσα λέξις ὀξύτονος πολλάκις ἐν τῇ συνθέσει (in margine γρ. συνεπείᾳ)[67]) κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν, χωρὶς τοῦ τίς· οἷον, ζεὺς, ζεύς δε· καλὸς! (sic), καλὸς ἄνθρωπος· σοφός· σοφὸς ἀνήρ· πρόσκειται χωρὶς τοῦ τίς· ἐπεὶ τοῦτο φυλάττει τὴν ὀξεῖαν, οἷον τίς πόθεν εἷς ἀνδρῶν. δεῖ δὲ προσθεῖναι τῷ κανόνι, χωρὶς εἰ μὴ ἐπιφέρηται στιγμὴ, ἢ ἐγκλιτικόν· τότε γὰρ οὐ κοιμίζεται ἡ ὀξεῖα εἰς βαρεῖαν, οἷον, ὠκὺς· ἀχιλλεύς· ἐπιφερομένη στιγμὴ οὐ κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν τοῦ ἐγκλιτικοῦ ἐπιφερομένου.

Εἰ δὲ πρὸ τοῦ ἐγκλιτικοῦ εὑρεθῇ λέξις πυρριχαϊκὴ ἀπὸ τόνου, ὡς ἐπὶ τοῦ μεταμέλει[68]), ἢ σπονδειακὴ ἀπὸ τόνου, ὡς ἐπὶ τοῦ ἀτρείδης, καὶ ἐπιφέρον δισύλλαβα ἐγκλιτικὰ, φυλακτικὰ γίνονται τῶν ἰδίων τόνων, ὡς ἀτρείδης ἐστί· μεταμέλει ἡμῖν· πολλάκις εἰσί. δεῖ δὲ προσθεῖναι χωρὶς τῶν ἀπὸ σφ ἀρχομένων ἀντωνυμιῶν· αὗται γὰρ ἀνα-

66) ἢ περισπωμένη προηγουμένη τοῦ ἐγκλιτικοῦ.

67) συνθέσει / συνεπείᾳ (sic).

68) τόνου, δηλονότι ἐπὶ τὴν λήγουσαν, ὡς ἐπὶ τοῦ πολλάκις, ἢ ἰαμβικὴ ἀπὸ τόνου, ὡς ἐπὶ τοῦ μεταμέλει.

Περὶ τῶν ἐγκλινομένων κορίων.

Δεῖ εἰδέναι, ὅτι ἐν ὀνόμασι καὶ ἀντωνυμίαις καὶ ῥήμασιν, ἐν ἐπιῤῥήμασι καὶ συνδέσμοις εὑρίσκεται ἐγκλινόμενα. καὶ ὀνόμασι μὲν τὸ τὶς, καὶ αἱ ἑξῆς πτώσεις καὶ ἀριθμοὶ, ἄνθρωπός τις, ἀνθρώπῳ τινὲ, ἄνθρωποί τινες. ἐν ἀντωνυμίαις δὲ τὰ σημαίνοντα ἀπόλυτα πρόσωπα, ἤκουσάς μου, ἔδωκάς μοι, ἔτυψάς με. ἐν δὲ ῥήμασι τὸ φημὶ, καὶ εἰμὶ καὶ ἐστὶ, καὶ τὰ ὅμοια, ἄνθρωπός εἰμι, ἄνθρωποί εἰσιν, ἀκεσίλαόν φημι. ἐν δὲ τοῖς ἐπιῤῥήμασι τὰ ἀνταποδοτικὰ τῶν πευστικῶν, οἷον, πότε, ποτὲ, ἐάν ποτε, πόθεν, ποθὲν, ἐάν ποθεν, πόθι, ποθὶ, αἰκέν ποθι. ἐν δὲ τοῖς συνδέσμοις ὁ τέ καὶ ὁ νῦ, καὶ ὁ ποῖ καὶ τοῖ, καὶ θήν, περ, γέ.

Ἰστέον δὲ, ὅτι, ἡνίκα ἐστὶ λέξις τετράχρονος, οὐκ ἀναπέμπει τῇ προηγουμένῃ λέξει τόνον, ἀλλὰ τῇ προηγουμένῃ συλλαβῇ, ἄνθρωπος ἥμων, ἔτυψας ἥμας· ἐπειδὴ οὐδέποτε πρὸ τέσσαρων χρόνων τόνος πίπτει. ἐὰν δὲ εὑρεθῇ λέξις τρίχρονος, ἢ δίχρονος, ἢ μονόχρονος, τότε ἀναπέμπει τῇ προηγουμένῃ λέξει τὸν τόνον κατὰ τὴν διαίρεσιν, ἡνίκα εὑρεθῇ ἡ προηγουμένη λέξις ἢ προπαροξύτονος ἢ παροξύτονος τροχαϊκὴ ἀπὸ τόνου, ὡς ἐπὶ τοῦ τυφθέντα, ἀπὸ γὰρ τοῦ τόνου ἐπὶ τὴν λήγουσαν ἀναποδίζων τροχαῖον εὑρίσκει, ἢ προπερισπωμένην μὴ ἔχουσαν τὴν τελευταίαν θέσει μακρὰν, τότε ἀναπέμπουσι τῇ προηγουμένῃ λέξει, οἷον ἀρκεσίλαός τε, ὅμηρός ἐστι, γυναῖκές εἰσι, τυφθεντά τε (sic) [65]). πρόσκειται, μὴ ἔχουσαν τὴν

65) τυφθέντά τε.

τελευταίαν θέσει μακρὰν, διὰ τὸ φοίνιξ καὶ ἥρως· τούτων γὰρ προηγουμένων οὐ γίνεται ἔγκλισις, φοῖνιξ ἐστὶ, ἥρως ἐστίν. Ἐὰν δὲ εὐρεθῇ λέξις ὀξύτονος ἡ προηγουμένη οὖσα περισπωμένη, προηγεῖται δὲ τοῦ ἐγκλιτικοῦ[66]), φυλάττεται ἡ ὀξεῖα καὶ ἡ περισπωμένη, οἷον ζεὺς, ζεύς τε, καλῶς, καλῶς μοι, σαφῶς, σαφῶς γε, σανόνος λέγοντος, ὅτι πᾶσα λέξις ὀξύτονος πολλάκις ἐν τῇ συνθέσει (in margine γρ. συνεπείᾳ)[67]) ποιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν, χωρὶς τοῦ τίς· οἷον, ζεὺς, ζεύς δὲ, καλὸς! (sic), καλὸς ἄνθρωπος· σοφὸς σοφὸς ἀνήρ. προσκειται χωρὶς τοῦ τίς· ἐπεὶ τοῦτο φυλάττει τὴν ὀξεῖαν, οἷον τίς πόθεν εἶς ἀνδρῶν. δεῖ δὲ προσθεῖναι τῷ κανόνι, χωρὶς εἰ μὴ ἐπιφέρηται σαγμὴ, ἢ ἐγκλιτικὸν· τότε γὰρ οὐ κοιμίζεται ἡ ὀξεῖα εἰς βαρεῖαν, οἷον, ὡκὺς ἀχιλλεύς· ἐπιφερομένη σαγμὴ οὐ κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν τοῦ ἐγκλιτικοῦ ἐπιφερομένου.

Εἰ δὲ πρὸ τοῦ ἐγκλιτικοῦ εὑρεθῇ λέξις πυρρίχειος ἀπὸ τόνου, ὡς ἐπὶ τοῦ μεταμέλει[68]), ἢ σπονδειακὴ ἀπὸ τόνου, ὡς ἐπὶ τοῦ ἀτρείδης, καὶ ἐπιφέρηται δισύλλαβα ἐγκλιτικὰ, φυλακτικὰ γίνονται τῶν ἰδίων τόνων, ὡς ἀτρείδης ἐστί· μεταμέλει ἡμῖν· πολλάκις εἰσί, δεῖ δὲ προσθεῖναι χωρὶς τῶν ἀπὸ σφ. ἀρχομένων ἀντωνυμιῶν· αὗται γὰρ ἀνα-

66) ἡ περισπωμένη προηγουμένη τοῦ ἐγκλιτικοῦ.

67) συνθέσει (sic).

68) τόνου, δηλονότι ἐπὶ τὴν λήγουσαν, ὡς ἐπὶ τοῦ πολλάκις, ἢ ἰαμβικὴ ἀπὸ τόνου, ὡς ἐπὶ τοῦ μεταμέλει.

πέμπουσι τὸν τόνον τῇ προηγουμένῃ λέξει, οἷον ἀτρείδης φησι (sic), πολλάκις γφέας. εἰ δὲ μὴ ὦσι δισύλλαβα, ἀλλὰ μονοσύλλαβα, τῷ νῷ μόνῳ γίνεται ἡ ἔγκλισις, μεταμέλει μοι, πολλάκις τις, ἀτρείδης τε. ταῦτα γὰρ οὔτε τὸν ἴδιον τόνον δύναντα φυλάττειν, οὔτε ἀναπέμπουσιν αὐτὸν τῇ προηγουμένῃ λέξει.

Γίνωσκε δέ, ὅτι οὐδὲν προστακτικὸν ἐγκλίνεσθαι δύναται· τινὶ (sic) γὰρ παραπέμψουσι τὸν ἴδιον τόνον, ἀλλ' οὐδὲ τὰ ἔχοντα προηγουμένην στιγμήν· πῶς γὰρ διαζεύξεως προηγουμένης ἔγκλισις γένηται; καὶ τούτου χάριν τὰ ἄρθρα οὐκ ἐγκλίνονται, οὐδὲ τὰ βαρυνόμενα αὐτὰ καθ' αὑτὰ ἐν τῇ συντάξει δύνανται ἐγκλίνεσθαι. τὰ γὰρ ἐγκλινόμενα κατὰ τὴν εὐθεῖαν καὶ κατὰ τὰς ἄλλας πτώσεις ἐγκλίνεσθαι δύνανται. ὅτι τὰ μὴ ὀξυνόμενα ῥήματα οὐκ ἐγκλίνονται, καὶ ὅτι τὰ ἐγκλινόμενα κατὰ τὸν ἐνεστῶτα οὐ πάντως κατὰ τὰ λοιπὰ ἐγκλίνονται.

Ἔτι περὶ τῶν ἐγκλινομένων.

Πᾶν ἐγκλινόμενον μόριον ἢ ὀξύνεται ἢ περισπᾶται, οὐδὲν δὲ βαρύνεται. οὕτω δὲ ὄντων τῶν μερῶν τοῦ λόγου, τὰ πέντε ἐγκλίνονται, ὄνομα, ῥῆμα, ἀντωνυμία, ἐπίῤῥημα, σύνδεσμος. πάλιν τῶν ἐγκλινομένων τὰ μὲν χάριν κόσμου ἐγκλίνονται, ὡς τὰ ῥήματα καὶ οἱ σύνδεσμοι, τὰ δὲ σημασίας, ὡς τὰ λοιπά. ἐν μὲν οὖν ὀνόμασι τὸ τὶς μόνον ἐγκλίνεται, καὶ αἱ τούτου πτώσεις, καὶ σὶ ἀριθμοὶ καὶ τὸ οὐδέτερον, ἄνθρωπός τις, ἤκουσά

ἀντιδιαστολὴ τοῦ προσώπου. αὕτη δὲ διαιρεῖται εἰς πλείονα εἴδη. αἵ τε γὰρ διεζευγμέναι ὀρθοτονοῦνται, καὶ ἔμοιγε καὶ ἀπολλωνίῳ, ἢ ἐμοὶ ἢ ἀπολλωνίῳ, καὶ μετὰ τοῦ ἔκτα συνδέσμου, ἕνεκα σοῦ, ἕνεκα ἐμοῦ· καὶ αἱ μετὰ προθέσεως δὲ ἀεὶ ὀρθοτονοῦνται, διὰ σέ, περὶ σοῦ, κατ' ἐμέ, ἐπὶ σοί.

Αἱ μετὰ τῆς ἐπιταγματικῆς ἀντωνυμίας τῆς αὐτὸς ἀεὶ ὀρθοτονοῦνται, αὐτὸν ἐμέ, αὐτῷ ἐμοί. ὑπεξαιρείσθωσαν δὲ αἱ παρὰ τοῖς ποιηταῖς μετὰ τῆς ἐπιταγματικῆς παραλόγως ἐγκλινόμεναι, ἀλλά οἱ αὐτῷ ζεὺς ὀλέσσειε βίην, καὶ εὐρύαλος δέ (sic) αὐτόν. καί τινες ἄλλοι μετὰ προθέσεων ἢ συνδέσμων ἐνεγκλίθησαν παραλόγως. αἱ κατ' ἀρχὴν τιθέμεναι, κἂν μὴ ἔχωσιν ἀντιδιαστολήν, διὰ τῶν ἀρκτικῶν τόπων, ὀρθοτονοῦνται, ἐμὲ δ' ἔγνω καὶ προσέειπεν.

Ἐν δὲ τοῖς ἐπιῤῥήμασιν ἐγκλίνεται τὰ ὑποκείμενα, πῶς, πῇ, ποῦ, ποτέ, ποθέν, ποθί. εἰ μὲν ὀρθοτονοῦνται βαρυνόμενα, πυσματικά ἐστιν· εἰ δὲ ἐγκλίνοιντο, ἀόριστα. καὶ τὰ ὑποδείγματα δῆλα, πῶς ἦλθεν, ἦλθέ πως, πῇ ἦλθες, ἦλθές πη, πότε γράφεις, γράφεις ποτε [71]), πόθεν ἦλθες, ἦλθές ποθεν, πόθι τοι πτόλις. ταῦτα πυσματικὰ ὄντα βαρύνεται, ἀόριστα δὲ ὀξύνεται, καὶ ἐν τῇ συντάξει ὑποτασσόμενα ἐγκλίνονται, ἦλθέ ποθι, αἰκέ ποθι ζεύς, καί ποτέ τις εἴπῃσι.

Ἐν δὲ συνδέσμοις οἱ ἐγκλινόμενοι εἰσιν οἵδε, τέ, καίπερ, γε, τοι, θην, κεν. Τὰ μὲν οὖν ἐγ-

---

71) γράφεις ποτὲ.

αἱ δὲ τοῦ δευτέρου καὶ τρίτου προσώπου μονοσύλλαβοι οὖσαι εὐθεμίαν στοιχείου ἀποβολὴν ποιοῦσιν, ἤκουσά σου, ἔδωκά σοι, ἐδίδαξά σε, καί οἱ ἐπευχόμενος, καί ἑ νέον κτάλεσιν, καί μιν φωνήσας.

Αἱ δυϊκαὶ τοῦ πρωτοτύπου τοῦ α καὶ β προσώπου οὐδέποτε ἐγκλίνονται διὰ τὴν βραχεῖαν τάσιν, νῶϊν, σφῶϊν· περισπῶνται γάρ. αἱ δὲ τοῦ τρίτου ὀξυνόμεναι ἐγκλίνονται, τίς τ' ἄρ σφῶϊ θεῶν, καί σφωϊν δὸς ἄγειν. καὶ τὰ πληθυντικὰ τοῦ τε πρώτου προσώπου καὶ δευτέρου, ἡμῶν, ὑμῶν, ἡμῖν, ὑμῖν, ἡμᾶς, ὑμᾶς, τετράχρονοι οὖσαι, ἐπειδὰν ἐγκλίνωνται, τὴν πρώτην συλλαβὴν ὀξύνουσιν, ἤκουσεν ἥμων, ἔδωκεν ἥμιν, καὶ ἐπὶ τῶν λοιπῶν οὕτως. ἀδύνατον γὰρ ὑπερβῆναι τοὺς τέσσαρας χρόνους τὴν ὀξεῖαν. καὶ αἱ τοῦ τρίτου προσώπου πληθυντικαὶ ὀξυνόμεναι ἐγκλίνονται, καί σφων, καί σφιν, καί σφας. καὶ εὔλογόν τε οἶμαι λέγειν, ὅτι μετὰ τὴν ἔγκλισιν τὸ πάθος ἐπηκολούθησεν, ἵνα μὴ βαρύτονοι οὖσαι ἐγκλίνωνται. Τῶν καλουμένων μονοπροσώπων μόνη ἡ αἰτιατικὴ ἔλαβεν αὐτόν. ἐγκλίνεται δὲ ἀεὶ καὶ ἡ μιν, καί μιν φωνήσας, καὶ ἡ ἔθεν παράλογος· διότι παράγωγος καὶ βαρύτονος. αἱ μὲν οὖν ἐγκλινόμεναι τῶν ἀντωνυμιῶν αὗταί εἰσιν, αἵτινες ὀρθοτονούμεναι μὲν ἀντιδιαστολὴν ἔχουσιν ἑτέρου προσώπου, ἐμοῦ ἤκουσας, οὐκ ἄλλῳ (sic), ἐμοὶ ἔδωκας, οὐκ ἄλλῳ, ἐμὲ ἐδίδαξας, οὐκ ἄλλον. ἐγκλινόμεναι δὲ ἀπόλυτα πρόσωπα δηλοῦσιν, ἤκουσά σου, ἔδωκά σοι. καὶ ἡ μὲν γενικωτάτη αἰτία τῆς ὀρθῆς τάσεως ἡ

ἀντιδιαστολὴ τοῦ προσώπου. αὕτη δὲ διαιρεῖται εἰς πλείονα εἴδη. αἵ τε γὰρ διεζευγμέναι ὀρθοτονοῦνται, καὶ ἔμοιγε καὶ ἀπολλωνίῳ, ἢ ἐμοὶ ἢ ἀπολλωνίῳ, καὶ μετὰ τοῦ ἔκτα συνδέσμου, ἕνεκα σοῦ, ἕνεκα ἐμοῦ· καὶ αἱ μετὰ προθέσεως δὲ ἀεὶ ὀρθοτονοῦνται, διὰ σὲ, περὶ σοῦ, κατ' ἐμὲ, ἐπὶ σοί.

Αἱ μετὰ τῆς ἐπιταγματικῆς ἀντωνυμίας τῆς αὐτὸς ἀεὶ ὀρθοτονοῦνται, αὐτὸν ἐμέ, αὐτῷ ἐμοί. ὑπεξαιρείσθωσαν δὲ αἱ παρὰ τοῖς ποιηταῖς μετὰ τῆς ἐπιταγματικῆς παραλόγως ἐγκλινόμεναι, ἀλλά οἱ αὐτῷ ζεὺς ὀλέσσιε βίην, καὶ εὐρύαλος δὲ (sic) αὐτόν. καί τινες ἄλλοι μετὰ προθέσεων ἢ συνδέσμων ἐνεγκλίθησαν παραλόγως. αἱ κατ' ἀρχὴν τιθέμεναι, κἂν μὴ ἔχωσιν ἀντιδιαστολὴν, διὰ τῶν ἀρκτικῶν τόπων, ὀρθοτονοῦνται, ἐμὲ δ' ἔγνω καὶ προσέειπεν.

Ἐν δὲ τοῖς ἐπιῤῥήμασιν ἐγκλίνεται τὰ ὑποκείμενα, πῶς, πῇ, ποῦ, ποτὲ, ποθὲν, ποθί. εἰ μὲν ὀρθοτονοῦνται βαρυνόμενα, πυσματικά ἐστιν· εἰ δὲ ἐγκλίνοιντο, ἀόριστα. καὶ τὰ ὑποδείγματα δῆλα, πῶς ἦλθεν, ἦλθέ πως, πῇ ἦλθες, ἦλθές πη, πότε γράφεις, γράφεί ποτε [71]), πόθεν ἦλθες, ἦλθές ποθεν, πόθι τοι πτόλις. ταῦτα πυσματικὰ ὄντα βαρύνεται, ἀόριστα δὲ ὀξύνεται, καὶ ἐν τῇ συντάξει ὑποτασσόμενα ἐγκλίνονται, ἦλθέ ποθι, αἰκέ ποθι ζεὺς, καί ποτέ τις εἴπησι.

Ἐν δὲ συνδέσμοις οἱ ἐγκλινόμενοι εἰσιν οἵδε, τὲ, καίπερ, γε, τοι, θην, κεν. Τὰ μὲν οὖν ἐγ-

---

71) γράφεις ποτὲ.

κλινόμενα μόρια ταῦτά ἐστιν· οὐχ ὡς ἔτυχε δὲ ἐγκλίνονται, ἀλλὰ κατά τινα παρατήρησιν τῆς πρὸ αὐτῶν λέξεως. αἱ μὲν οὖν τετράχρονοι τῶν ἐγκλιτικῶν ἐπὶ τὴν πρώτην συλλαβὴν ἑαυτῶν τὴν ἔγκλισιν ἀναπέμπουσιν, ὡς μηδὲ μιᾶς δεόμενα παρατηρήσεως τῆς πρὸ αὐτῶν λέξεως, ἤκουσαν ἡμῶν, ἔδωκαν ἡμῖν. αἱ δὲ λοιπαὶ τὴν πρὸ αὐτῶν ἐγείρουσι βαρεῖαν. οὐκ ἐπὶ πάσης συλλαβῆς ταύτην ἐγείρειν δύνανται· οὐ γὰρ, εἰ σπονδειακὴ ἡ προκειμένη λέξις, καὶ βαρύνοιτο, ἡ βαρεῖα ταύτης ἐπὶ τέλει ἐγείρει· οὕτω που διὰ μέλλει ὑπερμενὲς φίλον εἶναι, ἤδη τις εἶπεν, καὶ οὔτε τὴν τω συλλαβὴν τοῦ οὕτω ὀξύνομεν, οὔτε τὴν δη τοῦ ἤδη. ἀλλ' οὔτε, εἰ ἰαμβικὴ τύχοι, βαρύνεται, οἷον φίλος τις, ξένος τις· ἐπὶ γὰρ τούτων τῷ νοῖ μόνῳ καταλαμβάνεται ἡ ἔγκλισις· διὸ σημειοῦνται τὸ, ἐνθ' ἔσσαν πέπλοι παμποίκιλοι (sic) ἔργα γυναικῶν.

Ἀπαραλόγως δὲ ἐγκλίθη ἡ ἀντωνυμία πυρρυχίου (sic) προκειμένου. σημειοῦνται καὶ τὰς διὰ τοῦ σφ ἀντωνυμίας· καὶ αὗται γὰρ πυρρυχίου προκειμένου ἐγκλίνονται, ἵνα σφ' ἀγορή τε θέμιστές τε, ὅς τε σφέας εἰσαφίκηται, καὶ ἐπὶ τῶν ὁμοίων ὡσαύτως. εἰ μέντοι προπαροξύνοιτο ἡ προκειμένη λέξις τῶν ἐγκλιτικῶν μορίων, ἐγείρει τὴν ἐν τῷ τέλει αὐτῆς βαρεῖαν, οἷον, ἄνθρωπός τις, ἐν γὰρ τῇ αν συλλαβῇ καὶ τῇ πος ὀξεῖα τίθεται, ἤκουσέ μου, ἄνθρωποί εἰσι, κάκιστοί εἰσιν. εἴπομεν γὰρ, ὡς ἐπιῤῥήμασι μόνοις καὶ ἐν εὐκτικοῖς ἡ αι καὶ ἡ οι μακραί εἰσιν· ἐν δὲ τοῖς λοιποῖς οὐκ ἔνι μακραί εἰσιν.

Ὁμοίως εἰ περισπᾶται ἡ προκειμένη λέξις, ἐγκλιτικοῦ ἐπιφερομένου ἐγείρει τὴν μετὰ τὴν περισπωμένην βαρεῖαν, οἷον οἶκός τις, σκῶλόν τε, κνῆμόν τε, κἂν παροξύνοιτο τραχαϊκὴ οὖσα, ἄλλός τις, ἔστι τις, ἐνθάποτε.

Ἔτι καὶ αἱ ὀξυνόμεναι λέξεις, βαρυνόμεναι δὲ διὰ τὴν συνέπειαν, ἐγκλιτικοῦ ἐπιφερομένου τὴν βαρεῖαν ἐγείρουσιν, αὐτὸς, αὐτός μοι. εἰ δὲ περισπῷτο ἡ λέξις, φυλάττεται. ἡ περισπωμένη, πῶ, ἰοπότε, πῶ ποτε, πῇ με φέρεις. Ἐὰν οὖν συμβῇ πλείονα ἐφεξῆς ἐγκλιτικὰ εἶναι, πολλαὶ ἔσονται αἱ παράλληλοι ὀξεῖαι, ὡς παρ' Ὁμήρῳ, ἤ νυ σε ποῦ δέος ἴσχει ἀκήριον. τρεῖς γάρ εἰσιν ἐφεξῆς αἱ ὀξεῖαι. δυνατὸν δὲ καὶ πλείους ἐπινοῆσαι, οἷον εἴπέρ τίς σ' ἔμοί φησί ποτε. τὸ γὰρ εἰ ὀξύνεται διὰ τὴν ἐπιφορὰν τοῦ περ ἐγκλιτικοῦ· τὸ δὲ περ διὰ τοῦ τίς· τὸ δὲ τίς διὰ τὸ σέ, τὸ δὲ σέ διὰ τὸ μοί, τὸ δὲ μοὶ διὰ τὸ φησί, τὸ δὲ φησὶ διὰ τὸ ποτέ. ὥστε ἐφεξῆς εἶναι ὀξείας, εἰ καὶ σπάνιον τὸ τοιοῦτον διὰ τὴν τοῦ πνεύματος συνέχειαν δεομένην ἀναπαύσεως. αἱ [72]) δὲ παράλληλοι ὄντων ἐγκλιτικῶν, ἐν τῷ μετωξὺ περισπωμένων, ὡς ἐπὶ τοῦ ποῦ, πῇ, πῶς, καὶ μετὰ τοῦτο ἐπιφέροι τὸ ἕτερον ἐγκλιτικόν· τοῦτο τὸ περισπώμενον ὅτε περισπᾶται διὰ τοῦ ἐγκλῖναι τὸν ἴδιον τόνον· ἐπεὶ μὴ πέφυκεν ἡ περισπωμένη κατὰ τὸ κοινὸν ἔθος συστολῆς μὴ παρακολουθούσης εἰς ὀξεῖαν μετατίθεσθαι, οἷον οὔπω ἔστ' ἀγέλαι, ἐν

72) εἰ pro αἱ.

γὰρ τῇ ου διφθόγγῳ μόνῃ ἡ ὀξεῖα, εἶπον τίς σφιν εἶπεν ἐν τῷ η, καὶ ἐν τῷ τίς ἡ ὀξεῖα, ἄνθρωπόν τινά που φησὶ μελῳδεῖν, πάλιν ἐν τῇ πον συλλαβῇ, καὶ τῇ α ἡ ὀξεῖα τίθεται. κἀκεῖνο δὲ παραφυλακτέον, ὅτι τῶν ἐγκλινομένων ἡ σπονδειακὴ προηγεῖται λέξις ἢ τροχαϊκή. εἰ μὲν μονοσύλλαβον εἴη τὸ ἐπιφερόμενον ἐγκλιτικὸν, ὥσπερ ἐθέμην ἐγκλίνεται, οὕτω που ἴδῃ τις, οὔτε τὸ ἐγκλιτικὸν δέχεται τὸν ἴδιον τόνον. οὐδὲ ἡ βραχεῖα τῆς δευτέρας συλλαβῆς προηγουμένης ἐγείρεται λέξεως, ἀλλὰ νοῖ μόνῳ νοεῖται τὰ τῆς ἐγκλίσεως, ὡς ἔφθημεν εἰπόντες.

Εἰ μέντοι δισύλλαβον εἴη τὸ ἐγκλιτικὸν μόριον, τότε ἴδιον δέχεται τόνον, οὔτε δυνάμει οὔτε ἐνεργείᾳ ἐγκλινόμενον, οἷον ἤδη φαμέν· ὀξύνομεν γὰρ τὸ φαμέν· φίλοι εἰσὶν, ὁμοίως καὶ τὸ εἰσὶν ὀξύνομεν. οὕτω ποτὲ, καὶ ὂ ποτὲ ὀξύνομεν. καὶ τοῦτο εἰκότως· οὔτε γὰρ τῆς προηγουμένης λέξεως τὴν ἐπὶ τέλει βαρεῖαν ἐγεῖραι δυνατὸν, οὔτε τὴν ἔγκλισιν νοεῖσθαι κατὰ τὴν πρώτην συλλαβὴν τῶν σπονδείων ἢ τῶν πυῤῥιχίων· οὐδὲ γάρ ποτε τετάρτη ἀπὸ τέλους ἡ ὀξεῖα πίπτει.

Τὸ ἔστιν ἡνίκα ἀρχὴ λόγου ἢ ὅτε ὑποτάττηται τῇ ου ἀποφάσει, ἢ τῷ και συνδέσμῳ, ἢ τῷ ὡς ἐπιῤῥήματι, τηνικαῦτα τὴν ὀξεῖαν ἔχει ἐπὶ τῷ ε, ἔστι πόλις ἐφύρη. ἐὰν δὲ ὑποτάττηται ὀξυτόνῳ λέξει, ἢ περισπωμένῃ, ἢ τροχαίῳ μὴ παροξυτόνῳ, ἀλλὰ προπερισπωμένῳ, τηνικαῦτα ἐγκλίνεται, οἷον ἀγαθός ἐστι, κακός ἐστιν. ἐὰν δὲ μὴ οὕτως ἔχῃ, τὴν ὀξεῖαν ἐπὶ τοῦ ι δέχεται. καὶ ἐὰν

πρόκειται αὐτῷ ἢ τροχαῖος παροξύτονος ἢ σπονδεῖος ὁμοίως παροξύτονος, ἢ ἴαμβος πάλιν παροξύτονος, τηνικαῦτα τὸν τόνον ἐπὶ τοῦ ι προσδέχεται, οἷον φίλος ἐστὶν, ἥρως ἐστὶν, ἀγαμέμνων ἔστίν.

Καὶ ταῦτα μὲν περὶ τόνου τῶν ὀνομάτων, ἔτι καὶ περὶ τῶν ἐγκλινομένων μορίων. ἕπεται δὲ εἰπεῖν περὶ τόνου τῶν ῥημάτων, καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου.

---

10 Περὶ τῶν εἰς ω καὶ εἰς μι ῥημάτων κατὰ πᾶν πρόσωπον.

Βιβλίον ιζ.

Πᾶν ῥῆμα κλίνεται ἢ περισπᾶται, γράφω, τύπτω, ποιῶ, βοῶ. ὀξύνεται δὲ οὐδέποτε κατὰ τὴν κοινὴν συνήθειαν, εἰ μὴ παρὰ δωριεῦσι τὰ συνηρημένα ἀπαρέμφατα εἰς ειν ἀφαιρέσει τοῦ ι, ποιεῖν ἀντὶ τοῦ ποιεῖν, δεσμοφορεῖν ἀντὶ τοῦ δεσμοφορεῖν. σεσημείωται δέ τινα ῥήματα ὀξύτονα, δὸς, θὲς, σχὲς, σφὲς, τὸ ἀπόλυσον, χρὴ, ἐλθὲ, εἰπὲ, εὑρὲ, εἰμὶ, φημὶ, ἀπὸ τοῦ ἠμὶ, καὶ τὸ ἐσσὶ καὶ ἐστίν.

Εἰσὶ δέ τινα ῥήματα ἁπλᾶ ὀξυνόμενα ἀπὸ κλίσεως τούτων, ἐστὸν, ἐστὸν, ἐστὲ, εἰσί. καὶ ἀπὸ τοῦ φημὶ, φῄς, φησὶ, καὶ φῇ ἐκεῖνος κατ' ἀποκοπὴν, φατὸν, φατὸν, φαμὲν, φατὲ, φασίν. καὶ τὸ φθὲ οὕτω ἐπεκράτησε λέγεσθαι. τὸ δὲ λάβε καὶ

ἴδε παρ' ἡμῖν μὲν βαρύνονται, παρὰ δὲ ἀττικοῖς ὀξύνεται.

Πᾶν ῥῆμα εἰς ω̄ μονοσύλλαβον περισπᾶται, ζῶ, κλῶ, κνῶ, θλῶ, δρῶ, ἐὰν δρῶ, ἐὰν βῶ, ἐὰν στῶ. λείπεται τοίνυν διασαφηνίσαι τὴν τῶν εἰς ω̄ ληγόντων ἐνεστώτων τάσιν, κατὰ τὰς ἑαυτῶν συζυγίας.

Τὰ εἰς βω̄ λήγοντα βαρύνεται. τότε περισπᾶται, ὅτε [73]) ἐν ταῖς δυσὶ συλλαβαῖς ἔχει τὸ β, ἢ ὄνομα προϋπάρχει, ἢ τὸ ο̄ ἔχει ἐν τῇ παραληγούσῃ, ἢ τὸ ω̄ μέγα. καὶ βαρύνεται μὲν ταῦτα, λείβω, τρίβω, στείβω, φέρβω. περισπᾶται δὲ ταῦτα ὡς ἔχοντα ἐν δυσὶ συλλαβαῖς β̄, βαβῶ τὸ καθεύδω, βομβῶ, βιβῶ τὸ περιπατῶ. ἔτι περισπῶνται τὰ ἔχοντα προϋπάρχοντα ὀνόματα, φόβος φοβῶ, ἀσεβὴς ἀσεβῶ, εὐσεβὴς εὐσεβῶ, θόρυβος θορυβῶ, κόλυμβος κολυμβῶ, λαβὴ λαβῶ· τὸ γὰρ λάβω ὑποτακτικόν ἐστι τοῦ ἔλαβον.

Ἔτι περισπῶνται τὰ ἔχοντα ο̄ μικρὸν ἢ μέγα ἐν τῇ παραληγούσῃ, σοβῶ, κολοβῶ, λωβῶ.

Τὰ εἰς πω̄ λήγοντα βαρύνονται, εἰ μὴ παραλήγοιτο τὸ (sic) ῡ ἢ τῷ ω̄, ἢ εἰ μὴ παρώνυμα ἔχει, ἢ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ ἔχοι τὸ θ (sic), θάλπω, λάμπω, πέμπω, λείπω, μέλπω, βλέπω, ἐρείπω τὸ κατὰβάλλω. πρόσκειται εἰ μὴ ἔχοι ἐν τῇ πρὸ τέλους τὸ ῡ ἢ τὸ ω̄, διὰ τὸ γρυπῶ τὸ γονυπετῶ, καὶ κλωπῶ τὸ κλέπτω, ὅθεν καὶ κλώψ. τὸ δὲ, εἰ μὴ παρώνυμα ἔχοι, διὰ τὸ κόπος κοπῶ, ἔπος ἢ παγὶς, ἐπῶ τὸ βλάπτω, λύπη

73) ὅτι pro ὅτε.

λυπῶ, τρύπη τρυπῶ, κτύπος κτυπῶ, ῥύπος ῥυπῶ. πρόσκειται δὲ, εἰ μὴ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ ἔχει τὸ π, διὰ τὸ πιπῶ καὶ ὀπιπῶ, τὸ περιβλέπομαι. τὸ δὲ πίπτω βαρύνεται ἔχον τὸ τ.

Τὰ εἰς φω λήγοντα βαρύνεται, εἰ μὴ παραλήγοιτο τῷ ο μικρῷ ἢ τῷ ω μεγάλῳ, ἢ παρώνυμα εἴη, γράφω, γλύφω, νήφω. σεσημείωται τὸ διφῶ τὸ ζητῶ, καὶ ἀμφαφῶ. καὶ ὅσως παρώνυμα ἂν εἴη ἀπὸ τοῦ ἀφή. πρόσκειται, εἰ μὴ παρώνυμα εἴη, διὰ τὸ τρυφῶ, κορυφὴ κορυφῶ, σοφὸς σοφῶ, ζωγράφος ζωγραφῶ, ψῆφος ψηφῶ, ἀφὴ ψηλαφῶ. τὸ δὲ στροφῶ καὶ ῥωφῶ ἔχουσιν ο καὶ ω.

Τὰ εἰς πτω βαρύνεται, εἰ μὴ προκατάρχοι ὄνομα ἢ διαστολὴ γένοιτο σημαινομένου, σκάπτω, ῥίπτω. τὸ γὰρ ῥιπτῶ ἀττικὸν ποιητικόν. ἴπτω τὸ βλάπτω, θάπτω, σκώπτω, ἐνίπτω τὸ ἐπιπλήττω, τύπτω καὶ τυπτῶ ἀττικῶς, ὄπτω καὶ ὀπτῶ. εἰς ταῦτα δὲ προκατάρχεται ὄνομα, ἄβλεπτος ἀβλεπτῶ, ἄπεπτος ἀπεπτῶ, ἀλείπτης φιλοαλειπτῶ.

Τὰ εἰς γω δισύλλαβα τῷ ι παραληγόμενα ἀπὸ συμφώνου ἀρχόμενα βαρύνεται, θήγω, λήγω, τμήγω. τὸ δὲ ἠγῶ, ἀφ' οὗ τὸ ἠγοῦμαι, περισπᾶται, ἀπὸ φωνήεντος ἀρχόμενον.

Τὰ εἰς γω ὑπερδισύλλαβα, σύνθετα δὲ διὰ τοῦ γος παρηγμένα τῷ η παραληγόμενα περισπᾶται, ποδηγὸς ποδηγῶ, φορτηγὸς φορτηγῶ, στρατηγὸς στρατηγῶ, κυνηγὸς κυνηγῶ. τὸ δὲ ἀρήγω οὐκ ἀπὸ τοῦ ἀρηγὸς, ἀλλ' αὐτὸ ἀπ' ἐκείνου.

τὸ δὲ κεκλήγω καὶ πεπλήγω ποιητικῶς βαρύνονται ἀπὸ τῶν παρακειμένων γεγονότα.

Τὰ εἰς γω ὑπερδισύλλαβα τῷ ᾰ παραληγόμενα περισπᾶται μὴ ὄντα σύνθετα παρὰ πρόθεσιν, σμαράγω, πλατάγω. τὸ δὲ ἄγω βαρύνεται καὶ τὰ ἀπ' αὐτοῦ σύνθετα, διάγω, ἀνάγω, κατάγω.

Τὰ εἰς γω μὴ παρώνυμα, ἢ κατὰ παραγωγὴν γινόμενα ἀπὸ βαρυτόνου βαρύνονται, ὁπότε μὴ πρὸς διαστολὴν παραλαμβάνοιτο ἢ παραλήγοιτο τῷ η̄ ἢ τῷ ω̄, ψέγω, φλέγω, λέγω, εἴργω, πνίγω, ἀμέλγω, ἀλέγω, ὀρέγω. πρόσκειται μὴ παρώνυμα, διὰ τὸ τρύγη τρυγῶ, στὺξ στυγῶ, ἄλγος ἀλγῶ, σιγὴ σιγῶ, ῥῖγος ῥῖγῶ. μὴ ἀπὸ βαρυτόνου δὲ ῥήματος παραχθέντα διὰ τὸ λεγῶ, ἀλογῶ. μὴ πρὸς ἀντιδιαστολὴν πρόσκειται διὰ τὸ ἄγω καὶ ἀγῶ τὸ καταπλήττομαι, ἐξ οὗ τὸ ἄγημι καὶ ἄγαμαι. ἢ εἰ μὴ παραλήγοιτο τῷ ᾰ ἢ τῷ η̄, διὰ τὸ σμαραγῶ, καὶ ἠγῶ, ὅθεν τὸ ἠγοῦμαι.

Τὰ εἰς γω ἰαμβικὰ, εἰ μὲν ἔχει πρὸ τοῦ τέλους τὸ ε̄, βαρύνεται, εἰ δὲ ἄλλο τι, περισπᾶται, φλέγω, λέγω, στέγω. μογῶ δὲ καὶ στυγῶ καὶ τρυγῶ μὴ τὸ ε̄ ἔχοντα περισπῶνται.

Τὰ εἰς γω ἔχοντα πρὸ τοῦ γ̄ σύμφωνον βαρύνεται, εἰ μὴ παρ' ὄνομα γέγοιτο, εἴργω, στέργω, ἀμέλγω, σφίγγω. τὸ δὲ ἀλγῶ ἔχει τὸ ἄλγος, καὶ τὸ ἀργῶ τὸ ἄργος, καὶ τὸ γεωργῶ τὸ γεωργὸς, καὶ κακουργῶ τὸ κακοῦργος.

Τὰ εἰς γω δισύλλαβα παραληγόμενα φύσει μακρᾷ ὅτε ἀπὸ συμφώνου ἄρχοιτο, βαρύνεται, εἰ

μὴ παρ' ὄνομα εἴη, τρώγω, φάγω, τμήγω, λήγω, θήγω. τὸ μέντοι ῥέγω ἔχει τὸ ῥῖγος.

Τὰ εἰς γω ὑπερδισύλλαβα μὴ παρ' ὄνομα σύνθετα, εἰ μὴ παραλήγοιτο φύσει μακρᾷ, βαρύνεται, σπείρω, ἀρῆγω, ἐρεύγω. τὸ δὲ παιδαγωγῶ ἔχει τὸ παιδαγωγός.

Τὰ εἰς κω δισύλλαβα ἔχοντα τὸ ε ἐν τῇ πρὸ τέλους συλλαβῇ βαρύνεται, εἰ μὴ ἄρχοιτο ἀπὸ τριῶν συμφώνων ἢ παρ' ὄνομα εἴη, ῥέγκω, δέρκω, πλέκω, τέκω, πέκω, καὶ πείκω, καὶ πέκτω, ἕλκω· τοῦτο δὲ ἀπὸ περισπωμένου τὸ ἑλκῶ· δείκω τὸ δεικνύω, εἴκω. τοιαῦτα καὶ τὰ ὑπερδισύλλαβα τῷ ε παραληγόμενα, ὀλέκω, ἐρίκω, τὸ σχίζω, ἐνέκω. πρόσκειται, εἰ μὴ παρ' ὄνομα εἴη, διὰ τὸ ἑλκόω ἑλκῶ ἕλκος, καὶ πελεκῶ πελεκᾶς, καὶ μὴ ἄρχοιτο ἀπὸ τριῶν συμφώνων, διὰ τὸ σπλεκῶ τὸ συνουσιάζω.

Τὰ εἰς σκω (sic) δισύλλαβα τῷ η παραληγόμενα ἀπὸ συμφώνου ἀρχόμενα βαρύνεται, ἀπὸ δὲ ἡμιφώνου περισπῶνται. καὶ βαρύνονται μὲν ταῦτα, τήκω, θήκω, μεθ' ὧν καὶ τὸ εἴκω· περισπᾶται δὲ ταῦτα, ληκῶ, φρηκῶ.

Τὰ εἰς κω, εἰ μὴ τῷ σ παραλήγοιτο ἢ τῷ η, περὶ ὧν προείρηται, πάντως περισπᾶται, νακῶ, ἀρκῶ, ναρκῶ, σαρκῶ, σαλκῶ, δοκῶ. τὸ δὲ δίωκω καὶ ἥκω βαρύνεται. τὸ δὲ ἁλκῶ, σφηκῶ, περισπᾶται.

Τὰ διὰ τοῦ σκω βαρύνεται, εἰ μὴ κατάρχοιτο ὄνομα, τιτρώσκω, γινώσκω, βιβρώσκω, ἀρέσκω, ἐπιφλοίσκω, κικλήσκω, βόσκω. τοῦτο δὲ καὶ

ἀπὸ περισπωμένου ἐγένετο, βοσκῶ βοσκήσω. τὸ μέντοι δισκῶ καὶ ἀσκῶ καὶ διασκῶ ἔχουσι τὸ δίσκος καὶ ἀσκὸς, καὶ τὸ βοσκῶ τὸ βοσκὸς, καὶ ἱπποβοσκῶ τὸ ἱπποβοσκός.

Τὰ εἰς κτω μὴ παρ' ὄνομα γινόμενα βαρύνεται, τίκτω, πέκτω τὸ κτενίζω. τὰ δὲ περισπώμενα ἔχουσιν ὄνομα, εὐτακτος εὐτακτῶ, ἄτακτος ἀτακτῶ, ὑλακὴ ὑλακτῶ. τούτοις ἠκολούθησε καὶ τὸ ἀγανακτῶ.

Τὰ εἰς χω δισύλλαβα ἀπὸ συμφώνου μὴ διὰ τοῦ η παραληγόμενα φύσει μακρᾷ βαρύνεται. εἰ δέ τι περισπάσθη, τοῦτο ἐκ βαρυτόνου παρήχθη, ὡς ἐπὶ τοῦ τρέχω τροχῶ, ἢ παρ' ὄνομα ἐγένετο, τεῦχος τευχῶ. βαρύνεται δὲ ταῦτα, στίχω, τύχω, ψύχω, τρύχω, λείχω, γλίχω. οὐκ ἀντιπίπτει τὸ αὐχῶ ἀπὸ φωνήεντος γὰρ, ᾧ ἠκολούθησε τὸ λαυχῶ. τὸ δὲ βληχῶ ἔχει η.

Τὰ εἰς χω δισύλλαβα τῷ η παραληγόμενα ἀπὸ συμφώνου ἀρχόμενα, εἰ μὴ πεποιημένην φωνὴν σημαίνοι, νήχω, ἐξ οὗ τὸ νήχομαι, σμήχω, τρήχω τὸ κτυπῶ, λήχω, ἀφ' οὗ τὸ ἔλαχον. τὸ δὲ βληχῶ πεποιημένην φωνὴν δηλοῖ. τὸ δὲ ἠχῶ ἀπὸ φωνήεντος ἤρξατο.

Τὰ εἰς χω δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ χ τὸ σ περισπᾶται, εἰ ἔχοι τὴν πρὸ τέλους μὴ φύσει μακρὰν, ὑπεσταλμένων τῶν ἐχόντων τὸ ε ἢ τὸ α πρὸ τέλους, λοχῶ, τριχῶ, ὀρχῶ, κιχῶ. τὸ δὲ ἴσχω ἔχει σ. καὶ τὸ σμήχω ἔχει τὴν παραλή-

γουσαν φύσει μακράν. τὸ δὲ τρέχω ἔχει ε̄, καὶ τὸ ἄρχω ᾱ.

Τὰ εἰς χω ἐν τῇ πρὸ τέλους συλλαβῇ ε̄ ἔχοντα βαρύνεται, εἰ μὴ παρ' ὄνομα γένοιτο, τρέχω, βρέχω, δέχω, ἔχω, σπέρχω, εὔχω, ὅθεν εὔχομαι, ἔρχω, ὅθεν ἔρχομαι, ἐλέγχω, τεύχω. τὸ δὲ τευχῶ περισπώμενον, ὅτι τεῦχος.

Τὰ εἰς χω δισύλλαβα ἔχοντα τὸ ᾱ ἐν τῇ πρὸ τέλους βαρύνεται, ἄχω ἄχομαι, μάχω μάχομαι, καὶ μαχῶ περισπώμενον, ἄρχω, πάσχω, μεθ' ὧν καὶ τὸ ἴσχω. τὸ δὲ βακχῶ περισπᾶται ὡς ἔχον τὸ βάκχος.

Τὰ διὰ τοῦ αχω τρισύλλαβα βαρύνεται, στεναχω, ἰάχω. ταῦτα δὲ καὶ ἀπὸ περισπωμένων, διαχήσω, στεναχήσω.

Τὰ εἰς χω ὑπερδισύλλαβα φύσει μακρᾷ παραληγόμενα, ἢ παρ' ὄνομα ὄντα ἢ διὰ τὸ ἰάχω (sic), περισπᾶται, στοναχῶ, συμμαχῶ, γνωσιμαχῶ, ἡνιοχῶ, ὁμιχῶ τὸ οὐρῶ. σεσημείωται τὸ στενάχω καὶ ἰάχω. τὸ δὲ διδάχω διδάξω οὐκ ἐν χρήσει ὂν βαρύνεται.

Τὰ εἰς δω δισύλλαβα παραληγόμενα τῷ η̄ βαρύνεται, ἤδω ἤδομαι, κήδω κήδομαι. τὸ δὲ πηδῶ περισπᾶται.

Τὰ εἰς δω δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους εἰς τὸ ε̄ καταλήγουσαν περισπᾶται, ἐδῶ ἐδήσω, μεδῶ, ἐξ οὗ τὸ μεδέω. ταῦτα δὲ βαρύτονα λέγονται, ἔδω καὶ μέδω.

Πᾶν εἰς δω λῆγον ἔχον τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν λήγουσαν μετὰ βραχείας, οὐ βαρύνεται, ἀλλὰ περισπᾶται, ὡς ἔχει τὸ σταφιδῶ, ὁμαδῶ. τοῦτο καὶ ἀπὸ βαρυτόνου. τὸ φείδω φείδομαι, ψεύδω ψεύδομαι, ἐρείδω ἐρείδομαι, παραλήγουσι διφθόγγῳ.

Τὰ εἰς δω ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ ε, ᾧ ὑποτέτακται ἢ σύμφωνον ἢ ὑποτακτικὸν φωνῆεν, βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη, σπένδω, ἔρδω. τὸ δὲ κερδῶ, ὅτι κέρδος, περισπᾶται.

Τὰ εἰς δω παραληγόμενα τῷ ο περισπᾶται, σποδῶ, οἰδῶ τὸ οἰδαίνω, ἀοιδῶ.

Τὰ εἰς δω παραληγόμενα τῷ ω, εἰ παρ' ὄνομα εἴη, περισπᾶται, κιθαρῳδῶ, κωμῳδῶ, τραγῳδῶ, μεθ' ὧν καὶ τὸ πηδῶ καὶ αὐδῶ.

Τὰ εἰς δω δισύλλαβα, εἰ ἔχοι τὸ ε λῆγον ἐν τῇ πρὸ τέλους συλλαβῇ, περισπᾶται, φραδῶ τὸ βουλεύομαι· εἰ μέντοι εἰς σύμφωνον καταλήγοι, βαρύνεται, ἄρδω. τὸ μέντοι ἄλδω τὸ αὔξω ἀπὸ περισπωμένου τοῦ ἀλδῶ καὶ ἀλθήσω ἐγένετο.

Τὰ διὰ τοῦ θω ὑπερδισύλλαβα βαρύνεται, εἰ μὴ προκατάρχοιτο ὄνομα, ὅπερ κατὰ τροπὴν τοῦ τέλους εἰς ῶ ἐποίησε τὸ ῥῆμα, κιάθω τὸ πορεύομαι, ἀμυνάθω τὸ βοηθῶ, διωκάθω τὸ διώκω. τὸ μέντοι φιλομαθῶ καὶ εὐσταθῶ περισπῶνται· παρ' ὄνομα γάρ. τὸ δὲ μαθῶ μαθήσω δισύλλαβον.

Τὰ διὰ τοῦ εθω βαρύνεται, σχέθω, ἔθω, ἐ-

ῥέθω, ἀκυρέθω [74]), φαέθω, φλεγέθω. τὸ δὲ τηλεθῶ, τὸ εἰς ὕψος θέω, περισπᾶται.

Τὰ διὰ τοῦ ηθω βαρύνεται· εἰ δέ τι περισπᾶται, ἀπὸ ὀνόματος γέγονε, ἀλήθω, κνήθω, σπήθω, ἐξ οὗ καὶ ἔπαθον, πλήθω, πρήθω. τὸ δὲ βοηθῶ παρ' ὄνομα· ὅμοιον καὶ τὸ γηθῶ γηθήσω.

Τὰ διὰ τοῦ υθω βαρύνεται, μινύθω, φθινύθω.

Τὰ εἰς σθω κατ' ἐπιπλοκὴν συμφώνου βαρύνονται, εἰ μὴ προκατάρχοιτο ὄνομα ἢ τῷ ō παραλήγοιτο, αἴσθω τὸ ἐκπνέω, αἴσθω καὶ αἴσθομαι· τοῦτο δὲ ἀπὸ περισπωμένου ἐγένετο. τὸ μέντοι μισθῶ περισπᾶται, ὅτι μισθός.

Τὰ εἰς θω παραληγόμενα ευ βαρύνεται, πεύθω, λεύθω, κεύθω.

Τὰ εἰς θω παραληγόμενα φύσει μακρᾷ, χωρὶς τῶν διὰ τοῦ ῑ, εἰ μὴ ὄνομα προκατάρχοι, βαρύνεται, πείθω, πλώθω. σεσημείωται τὸ ὤθω. τὸ μέντοι μυθῶ καὶ ἀπειθῶ περισπῶνται, ὅτι μῦθος καὶ ἀπειθεία [75]).

Τὰ εἰς θω δισύλλαβα, ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν λήγουσαν μετὰ βραχείας καὶ τοῦ ē μὴ [76]), περισπᾶται, τιθῶ, ποθῶ, μαθῶ, ἐξ οὗ τὸ μαθήσω. τὸ μέντοι σχέθω βαρύτονον ἔχον τὸ ē. σεσημείωται τὸ ὤθω τὸ φροντίζω βαρυνόμενον.

---

74) ἀηρέθω pro ἀκυρέθω.
75) ἀπειθής.
76) καὶ μὴ τοῦ ē.

Τὰ εἰς θω, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς ἀμετάβολον λήγουσαν, ὑπεσταλμένης τῆς ερ, περισπᾶται, πτορθῶ, ἀνθῶ, περθῶ, ὀρθῶ. σεσημείωται τὸ ἄλθω. τὸ δὲ πέρθω βαρύνεται ὡς ἔχον ερ.

Τὰ εἰς τω δισύλλαβα μὴ κατ' ἐπιπλοκὴν τοῦ σ περισπᾶται, ζητῶ, κροτῶ, πατῶ, στρατῶ τὸ στρατοπεδεύομαι, κοτῶ τὸ ὀργίζομαι, βροντῶ. τὰ μέντοι βαρύτονα σπάνια, καὶ μὴ ἐνεργητικῶς λεγόμενα, πέτω πέταμαι, λίτω λίτομαι. τὸ δὲ ἀνύτω ἀπὸ τοῦ ἀνύω κατὰ πλεονασμὸν τοῦ τ.

Τὰ εἰς ζω βαρύνεται, εἰ δέ τι περισπᾶται, τοῦτο βαρύτονον ὤφθη. εἰ δὲ μόνως περιεσπάσθη, προϋπῆρξεν αὐτῷ ὄνομα, οὗ τὸ τέλος εἰς ω τραπέν, ἰσοσύλλαβον ῥῆμα ἀπετέλεσε. καὶ βαρύνεται μὲν ταῦτα, βάζω, βιβάζω, λάζω τὸ λαμβάνω, στάζω, φράζω, τράζω, πιέζω. τοῦτο δὲ καὶ ἀπὸ περισπωμένου. τὸ δὲ τραπεζῶ περισπᾶται, ὅτι τράπεζα, ῥιζῶ ῥίζα, ῥοιζῶ ῥοῖζος, φυζῶ φύζα.

Τὰ διὰ δύο σσ βαρύνεται· εἰ δέ τι περιεσπάσθη, τοῦτο παρ' ὄνομα ἐγένετο· πάσσω, πλάσσω, πίσσω, φρίσσω, τινάσσω, ἐλίσσω. τὰ δὲ ἀπὸ ὀνομάτων περισπᾶται, θάλασσα θαλασσῶ, ἧσσων ἡσσῶ, κρείσσων κρεισσῶ, κισσὸς κισσῶ, λύσσα λυσσῶ.

Τὰ εἰς σω ἀπὸ ἐνεστῶτος, ὁπότε μὴ ἀπὸ μέλλοντος εἰς ἐνεστῶτα μετήχθη, ποιητικῶς δὲ περισπᾶται, ἰαῶ, νοσῶ, μασσῶ.

Τὰ εἰς λλω βαρύνονται, εἰ μὴ ἀπὸ ὀνόματος εἴη, βάλλω, θάλλω, κάλλω, φάλλω, τίλλω, ποικίλλω. τὸ δὲ κυλλῶ περισπᾶται, ὅτι κυλλός· καὶ τὸ μεταλλῶ, ὅτι μέταλλος.

Τὰ εἰς λω παραληγόμενα τῇ ου διφθόγγῳ σπάνιά εἰσι. βόλω, ὅθεν τὸ βούλομαι, βαρύνεται. τὸ δὲ οὐλῶ περισπᾶται, ὅτι οὐλή. καὶ τὸ δουλῶ, ὅτι δοῦλος.

Τὰ εἰς λω δισύλλαβα, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς ε καταλήγουσαν, βαρύνεται, ἀρχόμενα ἀπὸ συμφώνου μὴ μέσου, χωρὶς εἰ μὴ παρ' ὄνομα εἴη, κέλω, πέλω, θέλω. τὸ μέντοι ἑλῶ περισπᾶται, ὅτι ἀπὸ φωνήεντος ἤρξατο. τὸ δὲ τελῶ ἔχει τὸ τέλος ὄνομα.

Τὰ εἰς λω ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν ἢ φωνήεντα λήγουσαν περισπᾶται, ὑπεσταλμένων τῶν ἐχόντων τὴν ου δίφθογγον ἢ τὸ ε ἐν δισυλλάβῳ, καλῶ, χαλῶ, ζηλῶ, θηλῶ, αὐλῶ, πολῶ τὸ ἀναστρέφομαι, πωλῶ, ἀπειλῶ, βουκολῶ, ἀμελῶ, ὠφελῶ. σεσημείωται τὸ θέλω καὶ ὀφείλω.

Τὰ εἰς λω μετ' ἐπιπλοκῆς συμφώνου περισπᾶται· εἰ δέ τι βεβαρυτόνηται, τοῦτο πάθος ἔχει ἐξ ἐντελεστέρου τοῦ εἰς ῶ λήγοντος καθαρεύοντος· ἁπλῶ, διπλῶ, τριπλῶ, πιμπλῶ, κυκλῶ, ἀντλῶ. ταῦτα καὶ τὰ ὅμοια περισπῶνται. τὸ μέντοι ὄφλω βαρύνεται ἐκ τοῦ ὀφείλω, ὥςπερ καὶ τὸ κέλω, κέκλω, καὶ μέλω, μέλπω.

Τὰ εἰς μω ἀπὸ συμφώνου ἢ συμφώνων ἀρ-

χόμενα παραληγόμενα τῷ ε̄ βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη, τρέμω, νέμω, καὶ νεμῶ, ὅθεν νενέμηκα, δέμω, τέμω, γέμω, τρέμω τὸ ἠχῶ, βρέμω τὸ κτυπῶ. σεσημείωται τὸ τρεμῶ περισπώμενον, ὁμοίως καὶ τὸ ἀτρεμῶ. τὸ δὲ ἐμῶ ἀπὸ φωνήεντος ἄρχεται.

Τὰ εἰς μω μὴ παραληγόμενα τῷ ε̄ περισπᾶται, κομῶ, δαμῶ, γαμῶ, θυμῶ καὶ θυμοῦμαι, μιμῶ καὶ μιμοῦμαι, χραισμῶ, κοσμῶ, κοιμῶ καὶ κοιμῶμαι, οἰμῶ τὸ ὁρμῶ.

Τὰ εἰς νω δισύλλαβα μὴ κατ' ἐπιπλοκὴν συμφώνου ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ἀμετάβολον καταλήγουσαν περισπᾶται, κιρνῶ, πιλνῶ, πορνῶ, ἀρνῶ ἀρνοῦμαι.

Τὰ εἰς νω δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς δίχρονον συνεστηλμένον καταλήγουσαν, ἢ συμφώνου ἢ συμφώνων μὴ ἀντιστοίχων, περισπᾶται, χωρὶς εἰ μὴ κατ' ἐπένθεσιν εἴη τοῦ ν γινόμενον, κυνῶ καὶ ἐν συνθέσει προσκυνῶ, πλανῶ, σινῶ τὸ βλάπτω. τὸ δὲ τιῶ τίνω κατ' ἐπένθεσιν τοῦ ν, οὗ τὸ δίχρονον ποτὲ μὲν συστέλλει, ποτὲ δὲ ἐκτείνει. τὸ δὲ φθίνω καὶ φθάνω ἀπὸ ἀντιστοίχων ἤτοι ἰσοστοίχων. τὸ δὲ ἄνω ἀντὶ ἀνύω ἀπὸ φωνήεντος ἄρχεται.

Τὰ εἰς νω παραληγόμενα τῷ ε̄, εἰ προκατάρχοι ὄνομα, ἐξ οὗ γέγονε, φρενὸς φρενῶ, ἑνὸς ἑνῶ, ξένος ξενῶ, ἀσθενὴς ἀσθενῶ, σθένος σθενῶ, στενὸς στενῶ. τὸ γὰρ τένω οὐκ ἔχει ὄνομα οὔτε τὸ μένω.

Τὰ εἰς νω παραληγόμενα τῷ ο περισπᾶται, φθορῶ, δονῶ, πονῶ, κλονῶ, ὀνῶ τὸ ὠφελῶ, φρονῶ, δουλῶ.

Τὰ εἰς νω παραληγόμενα φύσει μακρῷ φωνήεντι, ὁπότε μὲν [77]) εἴη κατ' αἰολίδα διάλεκτον, περισπᾶται, σκηνῶ, θρηνῶ, σφηνῶ, φωνῶ, ὠνῶ καὶ ὠνοῦμαι, κοινωνῶ. τὸ πάνω βαρύνεται ὡς ἴδιον αἰολικόν.

Τὰ εἰς νω δισύλλαβα παραληγόμενα τῇ ει διφθόγγῳ βαρύνεται, εἰ παρ' ὄνομα εἴη, τείνω, γείνω, κτείνω. τὸ δεινῶ περισπᾶται, ὅτι δεινός, καὶ τὸ πεινῶ, ὅτι πεῖνα.

Τὰ εἰς νω δισύλλαβα παραληγόμενα ι ἐκτεταμένῳ βαρύνεται, εἰ μὴ καταρχοιτο ὄνομα, κρίνω, πίνω, κλίνω, σίνω. τὸ δὲ ῥινῶ παρὰ τὴν ῥίνην. τούτοις ὅμοιον καὶ τὸ κοινῶ.

Τὰ εἰς νω παραληγόμενα υ μακρῷ βαρύνεται, εἰ μὴ προκατάρχοι ὄνομα, δύνω, θύνω, πλύνω, φύνω, μηκύνω, πλατύνω, ταχύνω. σεσημείωται τὸ ὑνῶ περισπώμενον. τὸ δὲ ξυνῶ ἔχει τὸ ξυνός. καὶ τὸ ὀδυνῶ ἔχει τὸ ὀδύνη, καὶ τὸ ῡ βραχύ.

Τὰ διὰ τοῦ αινω βαρύνεται· ἃ δὲ περισπῶνται, ὀλίγα εἰσὶ, καὶ παρ' ὄνομα γεγόνασι, φαίνω φαίνομαι, μαίνω μαίνομαι, ῥαίνω, μιαίνω. τὸ μέντοι αἰνῶ περισπώμενον ἔχει τὸ αἶνος, ὥσπερ καὶ τὸ κελαινῶ τὸ κελαινὸς, καὶ τὸ τριαινῶ τὸ τρίαινα.

---

77) μὴ pro μὲν.

Τὰ εἰς νω παραληγόμενα διφθόγγῳ, μὴ τῇ αι ἢ ει, περισπᾶται, ἐρευνῶ, θοινῶ, χαυνῶ, κοινῶ, οἰνῶ, χωρὶς τοῦ ἐλαύνω.

Τὰ εἰς νω ὑπερδισύλλαβα παραληγόμενα τῇ ει διφθόγγῳ ἢ μακρῷ τῷ ι βαρύνεται, εἴνω, ὀρίνω [78]). τὸ δὲ χαλινῶ περισπᾶται, ὅτι ἔχει τὸ χαλινὸς, ὥσπερ καὶ τὸ ταπεινῶ τὸ ταπεινός.

Τὰ εἰς νω μετ' ἐπιπλοκῆς συμφώνου περισπᾶται, ὑπνῶ, πυκνῶ, ἰκνῶ καὶ ἰκνοῦμαι, τεχνῶ τεχνῶμαι, σκιδνῶ, ἰδνῶ. σεσημείωται τὸ δάκνω βαρύτονον, ὅπερ ἀπὸ τοῦ δαγκάνω γέγονε κατὰ συγκοπήν. τὰ δὲ ἔχοντα πρὸ τοῦ ν τὸ μ βαρύνεται, χωρὶς εἰ μὴ ἀπὸ δύο συμφώνων ἄρχοιτο, ἢ ὄνομα προκατάρχοι, μίμνω, κάμνω, τέμνω. τὸ δὲ κριμνῶ περισπᾶται, ὅτι ἀπὸ δύο συμφώνων ἤρξατο.

Τὰ διὰ τρῦ ανω ὑπερδισύλλαβα βαρύνεται, ὁπότε παρῆκται ἀπὸ ῥήματος. αὐτὴ δὲ ἡ διὰ τρῦ ἄνω παραγωγὴ οὐκ ἔχει κατάρχον τὸ ι ἐκτεταμένον διὰ τὸ ἴσχω, ἢ τὴν ει δίφθογγον διὰ τὸ δείκω τὸ δεικνύω, καὶ δικάνω. βαρύνεται δὲ ταῦτα, λείπω λιμπάνω, λήβω λαμβάνω, μήθω μανθάνω, δήκω δαγκάνω, φεύγω φυγγάνω, οἴδω οἰδάνω. περισπῶνται δὲ τὰ διπλασιασμὸν πάσχοντα, γαγγανῶ τὸ ταράσσω, ἢ ὁπότε ἀπὸ ὀνόματος ἐγένετο, κυρκάνη κυρκανῶ, τὸ θορυβῶ, δαπάνη δαπανῶ,

78) εἴνω, ὠδίνω, ὀρίνω.

μηχανὴ μηχανῶ, στέφανος στεφανῶ, λίβανος λιβανῶ, μέλανος μελανῶ. τούτοις ὅμοιον καὶ τὸ παμφανῶ.

Τὰ εἰς ρω παραληγόμενα φωνήεντι ᾱ ῆ ῑ ὴ ῶ περισπᾶται, κηρῶ, πληρῶ, γηρῶ, τηρῶ, ὡρῶ τὸ φυλάττω, τιμωρῶ. σεσημείωται τὸ ἄρω βαρύτονον, τὸ ἁρμόζω, ἢ τὸ λαμβάνω καὶ ἀποφέρομαι.

Τὰ εἰς ρω παραληγόμενα τῷ ε̄ καὶ βαρύνεται καὶ περισπᾶται. καὶ περισπᾶται μέν, ὁπότε ἔχει πλησιάζον φιλὸν τὸ ε̄, κερῶ τὸ κιρνῶ, περῶ, πτερῶ, στερῶ· μὴ οὕτως δὲ ἔχοντα, βαρύνεται, φέρω, φέρω. τὸ ἐρῶ περισπᾶται ἀπὸ φωνήεντος ἀρχόμενον.

Τὰ εἰς ρω, μὴ ὄντος πρὸ τοῦ ρ̄ συμφώνου, εἰ παραλήγοιτο τῷ ο̄ μόνῳ ἢ μεθ' ἑτέρου φωνήεντος, περισπᾶται, ἀγορῶ, ἀφορῶ, εὐπορῶ, ἀπορῶ, καρποφορῶ, ἱστορῶ, ἐπικουρῶ, ἀμοιρῶ.

Τὰ διὰ τοῦ αιρω βαρύνεται, χωρὶς εἰ μὴ παρ' ὄνομα εἴη, μαρμαίρω, καρκαίρω, σπαίρω καὶ ἀσπαίρω, αἴρω τὸ κουφίζω, ἐξ οὗ τὸ ἐπαίρω. τὸ δὲ σφαιρῶ ἔχει τὸ σφαῖρα, καὶ ἑταιρῶ τὸ ἑταῖρος.

Τὰ διὰ τοῦ ειρω βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη, μείρω τὸ μερίζω, τείρω, φθείρω, εἴρω, σπείρω, πείρω, ἐγείρω, οἰκτείρω. τὸ δὲ πειρῶ, ὅτι πεῖρα, καὶ τὸ χειρῶ, ὅτι χείρ.

Τὰ διὰ τοῦ υρω ἐκτεταμένον τὸ ῡ ἔχοντα

βαρύνεται, σφύρω, πτύρω, φύρω, καὶ φυρῶ περισπώμενον, μορμύρω, πλημμύρω, ὀθύρω, ἐξ οὗ τὸ ὀθύρομαι, ὀλοφύρω, ἐξ οὗ τὸ ὀλοφύρομαι. τὰ μέντοι ἔχοντα συνεσταλμένον τὸ ῡ περισπᾶται, μαρτυρῶ, ἀργυρῶ, πυρῶ, ξυρῶ, κυρῶ τὸ τυγχάνω, οὗ τὸ υ ἐκτέταται.

Τὰ εἰς ρω παραληγόμενα διφθόγγῳ τῇ διὰ τοῦ ῡ περισπᾶται, ἀμαυρῶ, εὑρῶ, ἐπικουρῶ, οἰκουρῶ.

Τὰ εἰς ρω ἔχοντα ἐπιπλοκὴν συμφώνου, ὁπότε μὴ συγκοπὴν ἐμφαίνοι, περισπᾶται, μετρῶ, γεωμετρῶ, ἱδρῶ, κοπρῶ, πιμπρῶ, ποδαιρῶ (sic) [79], λυτρῶ, ἐξ οὗ τὸ λυτροῦμαι. τὸ δὲ ἔγρω κατὰ συγκοπὴν ἀπὸ τοῦ ἐγείρω.

Τὰ διὰ τοῦ αιω βαρύνεται, εἰ μὴ εἴη ἀπὸ ὀνόματος, ῥαίω τὸ φθείρω, πταίω, ναίω, παίω, δαίω, παλαίω, κλαίω, λιλαίω, ὅθεν τὸ λιλαίομαι. τὸ δὲ ἑδραιῶ ἔχει τὸ ἑδραῖος, καὶ τὸ δικαιῶ τὸ δίκαιον (sic), καὶ βεβαιῶ τὸ βέβαιος, καὶ τὸ παλαιῶ τὸ παλαιὸς, καὶ περαιῶ τὸ πέρας, καὶ μαιῶ τὸ ζητῶ τὸ μαῖα, καὶ ματαιῶ τὸ μάταιος.

Τὰ εἰς ω καθαρὰ παραληγόμενα τῇ διὰ ῡ διφθόγγῳ βαρύνεται, ψαύω, θαύω, ἀπολαύω, σαύω, τὸ βοῶ, δεύω, τοξεύω, ἱξεύω, λιτανεύω.

Τὰ εἰς ω καθαρὸν παραληγόμενα τῷ α βαρύνεται, ὁπότε πλησιάζουσι τοῖς διὰ τοῦ αυω, χραύω χράω, φαύω φάω. περισπῶνται δὲ μὴ οὗ-

79) ποδαγρῶ.

τως ἔχοντα, δαῶ δαήσω, σαῶ σαήσω, ἀλαῶ. τὸ δὲ βοάω καὶ γελάω καὶ πεινάω βαρύνεται, καὶ τἆλλα ὡς ἐντέλειαι τῶν περισπωμένων.

Τὰ εἰς ω̄ καθαρὸν παραληγόμενα ε̄ βαρύνεται, χωρὶς εἰ μὴ προκατάρχοιτο ὄνομα, ἢ ἀπὸ βαρυτόνου μεταισταίη εἰς βαρύτονον, δέω, ξέω, θέω, πνέω, πλέω, ῥέω, ποιέω, νοέω, τελέω. σεσημείωται τὸ ἐῶ περισπώμενον. τὸ δὲ θεῶ, ὅθεν τὸ θεῶμαι, ἔχει τὸ θέα, καὶ τὸ νεῶ τὸ νέος. καὶ τοῦτο δεῶ δεήσω ἀπὸ τοῦ βαρυτόνου δέω γέγονε.

Τὰ εἰς ω καθαρὸν παραληγόμενα τῇ εῑ διφθόγγῳ βαρύνεται, εἰ μὴ ὄνομα ἔχοι, σείω, βρωσείω, ὀψείω, κιχείω, τελείω. τὸ μέντοι μειῶ ἔχει τὸ μεῖος, καὶ τὸ τελειῶ τὸ τέλειος, καὶ τὸ ἀρειῶ τὸ ἀρείων, καὶ τὸ ἀχρειῶ τὸ ἀχρεῖος.

Τὰ εἰς ω̄ καθαρὸν ὑπερδισύλλαβα παραληγόμενα ῑ βραχεῖ περισπᾶται, μειδιῶ, κοπιῶ, ἀξιῶ, ἐρυθριῶ, ἀγωνιῶ. τὸ δὲ ἐσθίω καὶ αἴω βαρύνονται. τὸ δὲ διδίω καὶ κικίω δεδιπλασίασται ἀπὸ τοῦ δίω καὶ κίω. τὸ δὲ μαστίω ἀπὸ τοῦ μαστίζω. σπάνια δέ εἰσι τὰ δισύλλαβα κατὰ συστολὴν τοῦ ῑ, ὡς καὶ τὸ δίω καὶ τὸ διῶ τὸ διώκω, ἴω καὶ ἰῶ τὸ πορεύομαι, καὶ τίω τὸ τιμῶ. τὸ δὲ βιῶ, οἷς, οἱ, τὸ ζῶ, βιῶ δὲ, βιᾷς, βιᾷ, τὸ βιάζω.

Τὰ εἰς ω̄ καθαρὸν ἔχοντα ῑ ἐκτεταμένον βαρύνεται, εἰ μὴ ὄνομα ἔχοι, ψίω τὸ ἐμβρωματίζω, λίω, δηρίω, μητίω, κονίω, μηνίω, ὃ διαφορεῖται κατὰ τὸν χρόνον. τὸ δὲ ἰῶ ἰῶμαι ἴος, κριῶ κριός, ἀνιῶ ἀνία.

Τὰ εἰς ω *καθαρὸν παραληγόμενα τῷ* ο *μόνῳ περισπᾶται, νοῶ, βοῶ, γοῶ, θροῶ, ποῶ, μακκοῶ τὸ μωραίνω. αἱ μέντοι ἐντέλειαι τῶν περισπωμένων βαρύνονται, χρυσόω, στεφανόω.*

Τὰ εἰς ω *καθαρὸν παραληγόμενα τῇ διφθόγγῳ* [80]) *περισπᾶται, εἰ μὴ διάστασις γένοιτο τοῦ* ι, *ποιῶ, οἰῶ τὸ μονῶ, ἀλλοιῶ τὸ τύπτω, ἀλλοίω τὸ μεταποιῶ, ἑταιροιῶ. τὸ δὲ οἴω οἴομαι, οἴω γίνεται. ὁ δὲ οἴω ἐνεστὼς τοῦ οἴσω μέλλοντος οὐκ ἔστιν ἐν χρήσει.*

Τὰ διὰ τοῦ υω *δισύλλαβα βαρύνεται καὶ περισπᾶται. περισπᾶται μέν, ὅσα ἔχει ὄνομα, ἢ κατ' ἐναλλαγὴν γέγονε, δυῶ, θυῶ τὸ θυμιῶ, ὄθεν θύος, μυῶ, καὶ μύω βαρύτονον, κυῶ ἀττικὸν ἐκ τοῦ κύω. τὰ δὲ μὴ οὕτως ἔχοντα βαρύνεται, δύω, ἐξ οὗ τὸ δύνω, θύω, ἐξ οὗ τὸ θύνω, λύω, μύω, νύω, ξύω.*

Ἔτι τὰ διὰ τοῦ υω *ὑπερδισύλλαβα βαρύνεται, εἰ μὴ ἔχοι ὄνομα, ἀλύω, ἀρτύω, πληθύω, κωλύω, ζευγνύω, ὀμνύω, ὀρνύω, σβεννύω. τὸ δὲ ἰχθυῶ ἔχει τὸ ἰχθύς, καὶ τὸ ἐγγυῶ τὸ ἐγγύη, καὶ τὸ βοτρυῶ τὸ βότρυς.*

Τὰ εἰς ω *καθαρὸν παραληγόμενον τῇ* υι *βαρύνεται, εἰ μὴ παρ' ὄνομα εἴη, ἀλυίω, ἀρπυίω. τὸ δὲ γυιῶ περισπᾶται.*

Τὰ εἰς ω *καθαρὸν παραληγόμενα τῷ* ω *βαρύνεται, ζώω, πλώω, σώω, χωρὶς τοῦ κωλῳῶ, ὅπερ*

80) *τῇ* οι *διφθόγγῳ.*

ἀπὸ τοῦ κολοιὸς γέγονε, καὶ ἔχει τὸ ῑ προσγεγραμμένον.

Τὰ εἰς ξω καὶ ψω περισπᾶται, διψῶ, γυψῶ, κενοδοξῶ, φιλοδοξῶ, ἀδοξῶ, αὐξῶ. τὸ γὰρ αὔξω καὶ ἀλέξω καὶ ἔψω [81]) ἀττικῶς βαρύνονται.

Περὶ τόνου τῶν μελλόντων.

Οἱ εἰς ω μέλλοντες κατὰ τὴν κοινὴν διάλεκτον, ἐὰν μὲν ἔχωσι πρὸ τοῦ ω τὸ ξ ἢ τὸ ψ ἢ τὸ σ, βαρύνονται, λέξω, πλέξω, τύψω, γράψω, ποιήσω, νοήσω. ἐὰν δὲ μηδὲν ἔχωσι τούτων πρὸ τοῦ ω, περισπᾶται, σπερῶ, φθερῶ, πλυνῶ, κτενῶ, τιλῶ. πρόσκειται διὰ τὴν κοινὴν διάλεκτον, ἐπειδὴ τὸ ποιήσω ποιησῶ οἱ δωριεῖς λέγουσι, καὶ τὸ λέξω λεξῶ.

Τὰ εἰς ω λήγοντα δεύτερα πρόσωπα προστατικὰ (sic) ὁμοτονεῖ τοῖς ἰδίοις ὁριστικοῖς, νικῶ ἐγὼ, νικᾷ σὺ, κρεμῶ ἐγὼ, κρεμᾷ σύ. τὰ μέντοι τρίτα εἰς τω εἰς θω βαρύνεται, λεγέτω, ποιείτω, τυπτέσθω, λελέχθω.

Τὰ εἰς ω πρῶτα (sic) πρόσωπα τῶν εὐκτικῶν περισπῶνται μετὰ τοῦ προσγεγραμμένου ῑ, βοάοι βοῷ, τρυπάοι τρυπῷ.

Τὰ εἰς ω ὑποτακτικὰ μονοσύλλαβα μὲν ὄντα περισπῶνται, ἐὰν δῶ, ἐὰν βῶ, ἐὰν στῶ, ἐὰν σχῶ. ὑπὲρ μίαν δὲ συλλαβὴν βαρύνεται καὶ περισπᾶ-

81) ἔψω.

ται. καὶ περισπῶνται μὲν, ἡνίκα ἔχωσι τὴν μετοχὴν εἰς εις μετ' ὀξείας τάσεως, καὶ διὰ τοῦ ντ κλινομένην, τυφθεὶς τυφθέντος, ἐὰν τυφθῶ, τυπεὶς τυπέντος, ἐὰν τυπῶ, τιθεὶς τιθέντος, ἐὰν τιθῶ· ἢ ἡνίκα ὦσιν ἐνεστῶτος καὶ παρατατικοῦ τῶν συνῃρημένων, ἐὰν ποιῶ, ἐὰν βοῶ, ἐὰν χρυσῶ. ἡνίκα δὲ μὴ ὦσι τοιαῦτα, βαρύνονται, ἔφαγον, ἐὰν φάγω, εἶπον, ἐὰν εἴπω, τέτυφα, ἐὰν τετύφω, τέτυπα, ἐὰν τετύπω. σεσημείωται τὸ ἐὰν εἰδῶ, οὗ ἡ μετοχὴ ὁ εἰδὼς τοῦ εἰδότος, εἰ καὶ ἀπὸ τοῦ εἰδέω.

Τὰ εἰς ω ὑποτακτικὰ τῶν ἀορίστων παθητικῶν περισπῶνται, ἐὰν ληφθῶ, ἐὰν τυφθῶ. τότε γὰρ τὰ τοιαῦτα ὑπὲρ μίαν συλλαβὴν περισπῶνται, ὅτε ἔχουσιν ἀπαρέμφατον εἰς ναι, ὡς τὸ ἐὰν νυγῶ, νυγῆναι, ἡ μετοχὴ εἰς εις, ὁ νυγείς· καὶ τὸ εὐκτικὸν εἰς ην καθαρὸν, νυγείην. ὁμοίως ἐὰν δαρῶ, δαρείην. ἐὰν δὲ μὴ οὕτως ἔχει [82]), βαρύνεται, ἐὰν δράμω, δραμεῖν καὶ δράμοιμι, ἐὰν φύγω, φυγεῖν καὶ φύγοιμι.

Τὰ δεύτερα καὶ τρίτα τῶν ὁριστικῶν ὁμοτονεῖ τοῖς πρώτοις, ἐὰν ἰσοσυλλαβῇ, λείπω, λείπεις, λείπει, ποιῶ, ποιεῖς, ποιεῖ. τὸ δὲ πνεῖ καὶ ῥεῖ καὶ πλεῖ οὐκ ἰσοσυλλαβεῖ. οὕτω καὶ ἐπὶ μέλλοντος, νοήσω νοήσεις νοήσει, καὶ ἐπὶ ὑποτακτικὸν (sic), ἐὰν λέγω, ἐὰν λέγῃς, λέγῃ, ἐὰν βοῶ, βοᾷς, βοᾷ [83]).

82) ἔχῃ.
83) βοᾷς, βοᾷ.

Περὶ παντὸς ῥήματος, τῶν εἰς μι. Βιβλίον ιζ.

Τὰ εἰς μι λήγοντα ὁριστικὰ ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, καὶ τὰ τρίτα ὁμοτονοῦσι τοῖς ἰδίοις πρώτοις, τίθημι, τίθης, τίθησι, δίδωμι, δίδως, δίδωσι, φημὶ, φὴς, φησὶ, εἰμὶ, εἶς, εἰ, ἐστί.

Τὰ εἰς μι εὐκτικὰ ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, τύπτοιμι, τύποιμι, ποιοῖμι, χρυσοῖμι, βοῷμι.

Τὰ δεύτερα καὶ τρίτα τῶν εἰς μι εὐκτικῶν ὁμοτονοῦσι τοῖς ἰδίοις πρώτοις, τύπτοιμι τύπτοις τύπτοι, ποιοῖμι ποιοῖς ποιοῖ, βοῷμι βοῷς βοῷ.

Πᾶς παρακείμενος ὁριστικὸς εἰς α λήγων ὑπερδισύλλαβος ἁπλοῦς προπαροξύνεται, τέτυφα, πεποίηκα. ὁμοίως καὶ ὁ ἀόριστος, ἔτυψα, ἐποίησα. τὸ δὲ ἦψα καὶ οἶδα δισύλλαβα, καὶ τὸ συνῆψα σύνθετον. τὸ δὲ ἐφοίτα ἀπὸ τοῦ ἐφοίτας τὸ α μακρόν.

Τὰ εἰς θα ἐν δευτέροις προσώποις ὑπερδισύλλαβα προπαροξύνεται, λάβησθα, ἔφησθα, οἶδασθα. τὰ μέντοι δισύλλαβα προπερισπᾶται, φῆσθα, ἦσθα.

Καὶ τὰ εἰς θα δὲ πρῶτα πρόσωπα προπαροξύνονται, τυπτόμεθα, νικώμεθα, χρυσούμεθα.

Πᾶν ῥῆμα εἰς ν μακροκατάληκτον ὑπὲρ μίαν συλλαβὴν πρὸ μιᾶς τοῦ τέλους ἔχειν[84]) τὴν ὀξεῖαν,

84) ἔχει.

ἐνόουν, ἐδείκνυν, ἔγνων, ἐγεγράφειν, νυγείην, διδοίμην, ἐτυπέτην, ἔστων. τὸ δὲ ἐχρῆν καὶ ἦν περισπᾶται.

Πᾶν πρόσωπον ὁριστικὸν, εἴτε ἐνικὸν, εἴτε πληθυντικὸν, ἁπλοῦν, ὑπὲρ δύο συλλαβὰς, προπαροξύνεται, ἔγραφον ἐγὼ καὶ ἔγραφον ἐκεῖνοι, ἔτυπον ἐγὼ καὶ ἔτυπον ἐκεῖνοι. τὸ δὲ εἶχον, ἐξ οὗ τὸ κατεῖχον, καὶ ἄλλα περισπᾶται, ὡς δισύλλαβον. τὰ γὰρ δισύλλαβα ἢ προπερισπῶνται ἢ παροξύνονται κατὰ τοὺς κανόνας· μακρᾶς γὰρ οὔσης τῆς προπαραληγούσης, προπερισπῶνται, ἦλθον, εὗρον, εἶχον, εἶδον, καὶ τ' ἄλλα· βραχείας δὲ τῆς παραληγούσης, παροξύνονται, ἴδον, ἔσχον.

Τὰ εἰς ον̄ προστακτικὰ τοῦ πρώτου ἀορίστου ὑπερδισύλλαβα προπαροξύνονται, ἄκουσον, νόησον, φίλησον· δισύλλαβα δὲ ὄντα παροξύνονται, ἢ προπερισπῶνται κατὰ τοὺς κανόνας, νεῖμον, κρῖνον, εἶπον ἀντὶ τοῦ εἰπὲ, τύψον, λέξον, γράψον.

Πᾶν δεύτερον πρόσωπον εἰς σ̄ λῆγον παρῳχημένου χρόνου ὑπὲρ μίαν συλλαβὴν λήγοντος ἢ εἰς ην̄ ἢ εἰς α̅ ὁμοτονεῖ τῷ πρώτῳ, ἐνύγην ἐνύγης, ἐδάρην ἐδάρης, τέτυφα τέτυφας, ἔτυψα ἔτυψας, ἔτυπον ἔτυπες. ἔτι καὶ τὰ τρίτα ὁμοτονεῖ τοῖς δευτέροις, ἔλαβες ἔλαβεν, ἔτυψας ἔτυψεν.

Περὶ τόνου τῶν παθητικῶν.

Τὰ εἰς μαι̅ ὁριστικὰ προπαροξύνονται, ἢ προπερισπῶνται. τὰ μὲν οὖν βραχεῖα παραληγό-

μενα προπαροξύνονται, λέγομαι, ἵσταμαι, δίδομαι. τὰ δὲ φύσει μακρὰ, ἁπλᾶ ὄντα, προπερισπῶνται, κεῖμαι, εἶμαι, ποιοῦμαι, γελῶμαι, ὑπεσταλμένων τῶν τῆς αἰολίδος διαλέκτου, ἀκάχημαι γὰρ καὶ ἀλάλημαι, καὶ τοῦ παρακειμένου. οὗτος δὲ προπαροξύνεται, ὁμότονος ὢν τῷ ἰδίῳ ἐνεργητικῷ, νενόηκα νενόημαι, πεποίηκα πεποίημαι. τὸ δὲ κατάκειμαι καὶ κάθημαι προπαροξύνει σύνθετα ὄντα.

Τὰ εἰς ται τρίτα ὁμοφωνεῖ τοῖς εἰς μαι πρώτοις, τύπτομαι τύπτεται, πεποίημαι πεποίηται, ποιοῦμαι ποιεῖται, οἶομαι καὶ οἶμαι οἴεται.

Τὰ δεύτερα πρόσωπα τῶν εἰς μαι ἰσοσυλλαβοῦνται μὲν τοῖς πρώτοις καὶ ὁμοτονεῖ αὐτοῖς, τίθεμαι τίθεσαι, δίδομαι δίδοσαι, πεποίημαι πεποίησαι. ἐνδέοντα δὲ μιᾷ συλλαβῇ, ἀπὸ μὲν προπαροξυτόνων ὄντα, προπαροξύνονται (sic) [85], τύπτομαι τύπτῃ, γράφομαι γράφῃ· ἀπὸ δὲ περισπωμένων περισπᾶται, βοῶμαι βοᾷ, ποιοῦμαι ποιῇ.

Τὰ εἰς μαι ὑποτακτικὰ προπερισπῶνται μὲν ἀπὸ περισπωμένων ὄντα, ἐὰν νοῶ, ἐὰν νοῶμαι, ἐὰν φιλῶ, ἐὰν φιλῶμαι· καὶ ὅταν ὦσι παρακειμένου καὶ ὑπερσυντελίκου, ἐὰν πεποιῶμαι, ἐὰν μεμνῶμαι. βαρύνονται δὲ ἀπὸ βαρυτόνων ὄντα, ἐὰν τύπτω, ἐὰν τύπτωμαι, ἐὰν τύπω, ἐὰν τύπωμαι.

85) προπαροξύνονται.

Ζήτησιν δὲ ἔχουσι τοῦ ἐνεστῶτος χρόνου τοῦ ἀπὸ τῶν εἰς μι, πότε προπαροξύνονται καὶ πότε προπερισπῶνται. καὶ ἔστιν εἰπεῖν, ὅτι, εἰ μὲν ἔχωσι τὸ ἐνεργητικὸν ὁριστικὸν ἐν χρήσει, προπερισπῶνται, τίθημι, ἐὰν τιθῶμαι, ἵστημι, ἐὰν ἱστῶμαι, δίδωμι, ἐὰν διδῶμαι. εἰ δὲ μὴ ἔχωσι τὸ ἐνεργητικὸν ἐν χρήσει, προπαροξύνεται, δύναμαι, ἐὰν δύνωμαι· τὸ γὰρ δύημι οὐκ ἐν χρήσει· ἐπίσταμαι, ἐὰν ἐπίστωμαι.

Τὰ δεύτερα τῶν εἰς μι προστακτικῶν βαρύνεται, ὁπότε προπαροξύνονται κατὰ τὸ δεύτερον πρόσωπον ὑπὲρ δύο συλλαβὰς ὑπάρχον, ἐτίθεσο, ἐδίδοσο, πεποίησο, ἔκεισο. τὸ δὲ ἧσο προπερισπᾶται ὡς δισύλλαβον. εἰ δὲ μακρᾷ λήγουσιν, ἀορίστου μὲν ὄντα παροξύνονται, ἐγράψω, ἐποιήσω, ἐγένου, ἐλάβου· παρατατικοῦ δὲ ὄντα ἀπὸ βαρυτόνων θεμάτων βαρύνονται, ἐλεγόμην ἐλέγου. εἰ δὲ ἀπὸ περισπωμένων ῥημάτων, περισπῶνται, ἐποιούμην ἐποιοῦ, ἐνικώμην ἐνικοῦ (sic).

Τῶν εἰς μι (sic)[86]) εὐκτικῶν τὰ δεύτερα πρόσωπα εἰς ὃ καταλήγουσι, καὶ ἢ προπαροξύνονται, ἢ προπερισπῶνται. προπερισπῶνται μὲν τὰ δισύλλαβα, σχοίμην σχοῖο, διοίμην διοῖο (sic). ἔτι καὶ ὧν τὰ ἐνεργητικὰ εἰς μι λήγουσι, νοοίμην νοοῖο, ποιοίμην ποιοῖο, διοίμην διοῖο, βοώμην βοῷο.

Ὁμοίως δέ ἐστιν εἰπεῖν, ὅσα ἀπὸ τῶν εἰς μι

86) τῶν εἰς μηι.

ὁριστικά εἰσι καὶ ἔχουσι τὰ εὐκτικὰ μὲν ἐνεργετικὰ (sic) εἰς ην καθαρὸν, προπερισπῶνται, τίθημι, τιθείμην τιθεῖο· τιθείην γὰρ τὸ εὐκτικόν. τὸ δὲ δυναίμην δύναιο προπαροξύτονον διὰ τὸ μὴ ἔχειν δύνημι ἐν χρήσει, οὔτε δυνείην εὐκτικόν. προπερισπῶνται δὲ καὶ τὰ τοῦ παρακειμένου, δεδοίμην δεδοῖο, πεποιήμην πεποιοῖο (sic)[87]. τὰ δὲ λοιπὰ πάντα δεύτερα πρόσωπα εἰς ο λήγοντα προπαροξύνονται, τυπτοίμην τύπτοιο, λεγοίμην λέγοιο, τυψοίμην τύψοιο.

Τὰ εἰς το τρίτα τῶν εὐκτικῶν ὁμοτονεῖ τοῖς οἰκείοις δευτέροις, νοοῖο νοοῖτο, τύπτοιο τύπτοιτο.

Τὰ εἰς το τρίτα τῶν ὁριστικῶν ὑπερδισύλλαβα ὄντα τότε προπερισπῶνται. ὅτε δὲ τὰ ἑαυτῶν δεύτερα περισπῶνται, ἐνοοῦ ἐνοεῖτο. ὅτε δὲ τὰ δεύτερα μὴ περισπᾶται, τὰ τρίτα προπαροξύνεται, ἐδέξω ἐδέξατο, ἐγένου ἐγένετο. ἦτο δὲ καὶ ἦσο τὸ ἐκαθέζου, οὗ τὸ τρίτον ἦστο, πλεονασμῷ τοῦ σ ἐκ τοῦ ἦτο, προπερισπῶνται.

Πᾶν μονοσύλλαβον προστακτικὸν μακροκαταληκτούμενον περισπᾶται, θλᾶ, κλᾶ, ζῆ, τῆ, ἀντὶ τοῦ δέξαι. βραχυκατάληκτον δὲ ὀξύνεται, σπὲ, σχὲ, ἓς, ἀφ' οὗ τὸ ἄφες, δὸς, ὄφρες, τὸ φέρε.

Τὰ εἰς θι προστακτικὰ βαρύνονται, τύπηθι, δάρηθι, τύφθηθι καὶ τύφθητι, βῆθι, στῆθι, ἴσθι τὸ γίνωσκε. τὸ βαθὶ ὀξύτονον σεσημείωται.

87) πεποιῆο.

Πᾶν προστακτικὸν ὑπὲρ μίαν συλλαβὴν ὁμοιοκατάληκτον τῷ οἰκείῳ ὁριστικῷ καὶ ὁμότονόν ἐστιν αὐτῷ, ἔτυπτε τύπτε, ἐνόει νόει, ἐβόα βόα, ἐτύπτου τύπτου. τὸ δὲ λαβοῦ καὶ πιθοῦ παρὰ ἀττικοῖς περισπᾶται. ἔτι καὶ ἐλθέ, καὶ εἰπέ, καὶ εὑρέ, ὀξύνεται.

Τὰ εἰς αι ὑπερδισύλλαβα προστακτικὰ προπαροξύνονται, ποίησαι, ἄσπασαι. τὸ δὲ λοῦσαι καὶ δέξαι καὶ κτῆσαι βαρύνονται ὡς δισύλλαβα.

Πᾶν ἀπαρέμφατον ἢ εἰς ν λήγει ἢ εἰς αι. Καὶ τὰ εἰς ν μακροκατάληκτα δύο ἔχει τόνους· ἢ γὰρ βαρύνονται ἢ περισπῶνται. καὶ τὰ μὲν μονοσύλλαβα περισπῶνται, πλεῖν, ῥεῖν, ζῆν, δρᾶν· τὰ μέντοι ὑπὲρ μίαν συλλαβὴν ἢ βαρύνεται ἢ περισπᾶται. βαρύνεται μὲν τὰ ἀπὸ βαρυτόνων χρόνων ἐνεστῶτος καὶ μέλλοντος, τύπτειν, τύψειν, ποιήσω ποιήσειν. τότε δὲ περισπᾶται, ὅτε καὶ τὰ ὁριστικὰ περισπῶνται, ποιῶ ποιεῖν, τυπῶ τυπεῖν, στελῶ στελεῖν, χρυσῶ χρυσοῦν.

Τὰ δὲ εἰς ν τοῦ δευτέρου ἀορίστου ἄπλιτα περισπῶνται, ὥσπερ καὶ τὰ περισπώμενα, δραμεῖν, φαγεῖν, πιεῖν, ἐλθεῖν. τὸ δὲ πέφνειν σεσημείωται.

Τὰ δὲ εἰς αι λήγοντα ἀπαρέμφατα πάντα βαρύνεται, τύψαι, τυφθῆναι, τετύφθαι, τύπτεσθαι.

Πᾶν ῥῆμα ὀξύτονον ἐν τῇ συνθέσει ἀναδίδωσι τὸν τόνον. καὶ εἰ μὲν δισύλλαβον εἴη τὸ ἁπλοῦν, τὸ σύνθετον προπαροξύνεται, φημὶ σύμφημι, ἐστὶ σύνεστι, εὑρὲ ἔφευρε, τὸ γὰρ ἐφεῦρε ἐκ τοῦ εὗρε βαρυτόνου ἐγένετο, εἰπὲ κάτειπε. εἶδο

δὲ μονοσύλλαβον εἴη τὸ ἁπλοῦν, τὸ σύνθετον παροξύνεται, δὸς ἀπόδος, θὲς ἐπίθες. σεσημείωται τὸ προὲς τὸ ἄφες. σχὲς ἐπίσχες, σπὲς ἐνίσπες, χρὴ ἀπόχρη. τὲ γὰρ ἀποχρῆ ἀπὸ τοῦ χρῆ περισπωμένου ἐγένετο.

Τὰ εἰς ῶ μονοσύλλαβα ἐπὶ ἐνεστῶτος μετὰ προθέσεως συντεθειμένα τὴν περισπωμένην φυλάττει καὶ ἐν τῇ συνθέσει, σμῶ περισμῶ, ἀθλῶ συναθλῶ, κλῶ συγκλῶ. πρόσκειται ἐπὶ ἐνεστῶτος διὰ τὸ σχῶ παράσχω· τοῦτο γὰρ δὴ δευτέρου ἀορίστου ἐστί. πρόσκειται μετὰ προθέσεως διὰ τὸ ἄζω τὸ ξηραίνω· τοῦτο γὰρ ἀπὸ τοῦ ᾱ στερητικοῦ μορίου καὶ τοῦ ζῶ.

Πᾶν ῥῆμα ὁριστικὸν εἰς ῶ ὑπὲρ μίαν συλλαβὴν ἐν τῇ συνθέσει φυλάττει τὸν αὐτὸν τόνον, γράφω καταγράφω, βαίνω μεταβαίνω, φιλῶ καταφιλῶ, λέγω ἀλέγω. τὸ δὲ χειρογραφῶ καὶ καλαμογλυφῶ καὶ ἀσθενῶ καὶ εὐσεβῶ καὶ ἀπειθῶ οὐ φυλάττουσι τὸν τόνον· οὐ γὰρ ἀπὸ ῥημάτων συνετέθησαν.

Πᾶς παροξυνόμενος ὁριστικὸς ἀπὸ φωνήεντος ἀρχόμενος καὶ ἀπὸ φύσει μακρᾶς τὸν αὐτὸν φυλάττει τόνον καὶ ἐν τῇ συνθέσει, εἶχον κατεῖχον, ἦψα συνῆψα, εἶπον ἐξεῖπον, εὗρον ἐξεῦρον, πλὴν τοῦ εἶξεν ὑπάειξεν, εἶκον ἐπείκον. τὸ δὲ οἶδα σύνοιδα αἰολικόν· χαίρουσι γὰρ οἱ αἰολεῖς ἀναβιβάζειν τοὺς τόνους, ὥσπερ ἐπὶ τοῦ ἄτρεὲς (sic) ἄτρευς. πρόσκειται ἀπὸ φωνήεντος ἀρχόμενα διὰ τὸ σχὲς περίσχες, κεῖτο κατέκειτο. πρόσκειται ἀπὸ φύσει μακρᾶς διὰ τὸ ἶζε ἔφιζε. πρόσκειται ὁριστὸν διὰ τὸ εἰπὲ ἔξειπε, εὑρὲ ἔφευρε.

Ἔτι πᾶσα συλλαβὴ περισπωμένη φύσει μακρά ἐστι, καὶ οὐ θέσει οὔτε βραχεῖα.

Ἔτι πᾶσα λέξις ὀξύτονος ἐν τῇ συνεπείᾳ ποιμίζει τὴν ὀξεῖαν εἰς τὴν βαρεῖαν χωρὶς τοῦ τίς, ὅπερ φυλάττει τὴν ὀξεῖαν, καὶ χωρὶς εἰ μήτιγ μὴ ἐπιφέροιτο, ἢ ἐγκλιτικόν ἐστι.

Ἔτι πᾶσα λέξις μὴ περισπωμένη ἢ ὀξυνομένη βαρύνεται.

Ἔτι ἡ ὀξεῖα καὶ ἡ βαρεῖα συνερχόμεναι εἰς συναίρεσιν περισπωμένην ἀποτελοῦσι, χωρὶς εἰ μὴ τονικὸν κωλύσῃ παράγγελμα, ὡς ἐπὶ τοῦ ἀδελφιδέος ἀδελφιδοῦς, καὶ θυγατριδέος θυγατριδοῦς· ταῦτα γὰρ συναιρεθέντα οὐκ ὀξεῖαν, ἀλλὰ περισπώμένην ἔσχον.

Ἔτι ἡ ὀξεῖα καὶ δύο βαρεῖαι εἰς ὀξεῖαν καὶ βαρεῖαν συνέρχονται, διομήδεος διομήδους, χωρὶς εἰ μὴ τονικὸν κωλύσῃ παράγγελμα.

Ἔτι δασυνομένου φωνήεντος ἐπιφερομένου, τὸ προηγούμενον ψιλὸν τρέπεται εἰς τὸ ἀντίστοιχον δασύ, κατὰ ἡμῶν, καθ' ἡμῶν. τὰ δὲ ἀνάπαλιν οὔ· εἰ μὴ κατὰ διάλεκτον τραπῇ· τὸ γὰρ ἀπέχεσθαι αἰολικόν ἐστι.

Περὶ συνθέτων ῥημάτων.

Πᾶν ῥῆμα ὀξυνόμενον ἐν τῇ συνθέσει ἀναδίδωσι τὸν τόνον. καὶ εἰ μὲν δισύλλαβον εἴη τὸ ἁπλοῦν, τρίτην ἀπὸ τέλους ποιεῖ τὴν ὀξεῖαν ἐν τῇ συνθέσει· εἰ δὲ μονοσύλλαβον, πρὸ τέλους. τῶν μὲν οὖν δισυλλάβων καὶ ποιούντων τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν μαρτυρία τοιαύτη ἐστίν, φημὶ ἀπόφημι, εἰμὶ σύνειμι, ἐσμὲν σύνεσμεν, εἰπὲ

κάτειπε, ἐλθὲ ἄπελθε. τῶν μέντοι μονοσυλλάβων, θὲς ἐπίθες, δὸς ἀπόδος, σχὲς ἐπίσχες.

Τὰ εἰς ω̄ λήγοντα φυλακτικά εἰσι τοῦ αὐτοῦ τόνου ἐν τῇ συνθέσει, κλῶ κατακλῶ, ζῶ συζῶ.

Πᾶν ῥῆμα εἰς ω̄ ὑπὲρ μίαν συλλαβὴν, εἴτ' ἐπ' ἄλλου χρόνου, ἐν τῇ συνθέσει τὸν αὐτὸν τόνον φυλάττει, χωρὶς εἰ μὴ μέσον ὄνομα πίπτει, γράφω καταγράφω, βαίνω καταβαίνω.

Πᾶν εἰς μι ὑπερδισύλλαβον προπαροξύνεται, ὁμοίως καὶ τὰ ἀπὸ τούτων, τίθημι, τίθεμαι, τίθεσαι, τίθεται, ἵστημι, ἵσταμαι, δίδωμι, δίδομαι, δίδοτε, δίδομεν, δίδοται.

Περὶ τόνου τῶν μετοχικῶν.

Πᾶσα μετοχὴ εἰς ων ἢ ἐνεστῶτος ἐστὶ καὶ παρατατικοῦ, ἢ δευτέρου ἀορίστου, ἢ μέλλοντος. αἱ μὲν οὖν τοῦ ἐνεστῶτος καὶ μέλλοντος ἢ βαρύνονται ἢ περισπῶνται. καὶ τότε μὲν ἡ μετοχὴ βαρύνεται, ὅτε τὸ ῥῆμα βαρύνεται, τύπτων, ὅτι τύπτω, γράφω γράφων, γράψω γράψων, ποιήσω ποιήσων. τότε δὲ περισπᾶται, ὅτε τὸ ῥῆμα περισπᾶται, ποιῶ ποιῶν, βοῶ βοῶν, τυπῶ τυπῶν.

Αἱ δὲ εἰς ων τοῦ δευτέρου ἀορίστου ὀξύνονται, λαβὼν, τυπὼν, φαγὼν, πλὴν τοῦ πέφνων βαρυνομένου. τὸ δὲ ἑκὼν ἠκολούθησε τοῖς προειρημένοις, ἀπὸ τοῦ εἴκω τὸ ὑποχωρῶ.

Αἱ εἰς ας τοῦ πρώτου ἀορίστου βαρύνονται, τύψας, ποιήσας, μεθ' ὧν καὶ ἡ ἴσας ἀπὸ τοῦ ἴσημι.

Αἱ δὲ εἰς ω̄ς τῶν παρακειμένων ὀξύνονται, τετυφὼς, τετυπὼς, ἑστὼς, βεβώς.

Πᾶσα μετοχὴ εἰς σ̄ λήγουσα ἀρσενικὴ μακροκατάληκτος ὀξύνεται, ὑπεσταλμένων τῶν μετοχῶν τοῦ πρώτου ἀορίστου ἐνεργητικοῦ, περὶ οὗ εἶπομεν, τυφθεὶς, δαρεὶς, τυπεὶς, τιθεὶς, ἱστὰς, στὰς, φθὰς, διδοὺς, πηγνὺς, ὀλλὺς, ὀμνύς. πρόσκειται μακροκατάληκτος διὰ τὰς εἰς μενος μετοχάς· αὗται γὰρ πᾶσαι προπαροξύνονται, τυπτόμενος, τυψόμενος, τυψάμενος, τυπούμενος, πλὴν τῶν τοῦ παρακειμένου παροξυτονουμένων, τετύμμένος, πεπεποιημένος, εἰ μὴ καὶ αὗται πάθωσι· τότε γὰρ ἀναβιβάζουσι καὶ αὗται τὸν τόνον, μὴ οὖσαι ὑπὲρ τρεῖς συλλαβὰς, ὅρκα, ὅρμαι, ὅρμενος [88]), ἥδω, ἥσω, ἧσμαι, ἥσμενος καὶ ἄσμενος. πρόσκειται ὑπὲρ τρεῖς συλλαβὰς διὰ τὸ ἀκαχῶ, ἀκαχήσω, ἠκάχημαι, ἀκαχήμενος.

Αἱ εἰς η̄ λήγουσαι θηλυκαὶ παροξύνονται, τυπτομέννη, τετυμμένη.

Αἱ εἰς αι θηλυκαὶ προπαροξύνονται, ἢ περισπῶνται, καὶ προπερισπῶνται μὲν, ὅσαι ἀπὸ ὀξυτόνων εἰσὶν ἀρσενικῶν ἢ περισπωμένων, νοῶν νοοῦσα, εὐφρανῶν εὐφρανοῦσα, τυπεὶς τυπεῖσα, τετυφὼς τετυφυῖα. προπαροξύνονται δὲ, ὅσαι ἀπὸ βαρυτόνων εἰσὶν ἀρσενικῶν, λέγων λέγουσα, τύψων τύψουσα, ποιήσας ποιήσασα.

Αἱ οὐδέτεραι μετοχαὶ ὁμοτονοῦσι τοῖς ἰδίοις ἀρσενικοῖς, ὁ τύπτων τὸ τύπτον, ὁ ποιῶν τὸ

88) ὅρμενος.

ποιοῦν, ὁ λαβὼν τὸ λαβὸν, ὁ ποιήσας τὸ ποιῆσον (sic), εἰ καὶ μὴ τὸν αὐτὸν διὰ τὸν κανόνα.

Αἱ συντιθέμεναι μέτοχαὶ οὐκ ἀναβιβάζουσι τὸν τόνον, ἐλθὼν ἀνελθὼν, βὰς ἀναβὰς, πατῶν περιπατῶν. εἰ δὲ ἀναβιβάζουσι τὸν τόνον, οὐκέτι μένουσι μετοχαὶ, ἀλλ' ὀνόματα γίνονται, τλὰς ἄτλας, βὰς ἄβας, φὰς περίφας, χωρὶς τοῦ ἑκὼν καὶ ἀέκων.

Περὶ τόνου ἄρθρων, ἀντωνυμιῶν καὶ προθέσεων.

Βιβλίον ιή.

Αἱ εὐθεῖαι καὶ αἰτιατικαὶ τῶν ἄρθρων ὀξύνονται, ὁ, τὸν, οἱ, τοὺς, ἡ, ἣν, τὴν, τὰ, ἅ. αἱ γενικαὶ καὶ δοτικαὶ περισπῶνται, τοῦ, τῷ, τοῖν, τοῖν, τῆς, τῇ, τοῦ, τῷ, τῶν, ταῖς, τοῖς. καὶ τὸ ὦ τῆς κλητικῆς περισπᾶται.

Περὶ τόνου ἀντωνυμιῶν.

Αἱ πρωτότυποι ἀντωνυμίαι μὴ οὖσαι μονοπρόσωποι, ἐνικαὶ μὲν οὖσαι ὀξύνονται, ἐγὼ, σὺ, οἷ, ἐμοὶ, σοὶ, οἱ, ἐμὲ, σὲ, ἕ· ὑπεσταλμένων τῶν γενικῶν καὶ δοτικῶν τοῦ τρίτου προσώπου, αὗται γὰρ περισπῶνται, νῶϊν, νῷν κατὰ συναίρεσιν, ὥσπερ καὶ τὸ σφῶϊν σφῷν, καὶ [89]) τῆς περισπωμένης φυλαττομένης. καὶ πάλιν νῶϊ, σφῶϊ. αὗται

89) καὶ abest.

δὲ πάσχουσιν ἀποκοπὴν καὶ ὀξύνονται, νῶ, σφω. τὸ γὰρ ἐν τοῖς θυϊκοῖς ῶ ἀποστρέφεται τὴν περισπωμένην, διὸ τῶ καλῶ, τῶ σοφῶ. πρόσκειται ὑπεσταλμένων τῶν τοῦ τρίτου προσώπου, ἐπειδὴ αὗται ὀξύνονται, σφῶϊ, σφῶϊν· πληθυντικαὶ δὲ οὖσαι περισπῶνται, ἡμεῖς, ὑμεῖς, σφεῖς, ἡμῶν, ὑμῶν, σφῶν, ἡμῖν, ὑμῖν, ἡμᾶς, ὑμᾶς. ἡ σφὶν ὀξύνεται· συνεσταλμένον γὰρ ἔχει τὸ ι. τὴν σφᾶς οἱ μὲν ὀξύνουσι, οἱ δὲ περισπῶσι.

Αἱ μονοπρόσωποι μονοσύλλαβοι μὲν οὖσαι ὀξύνονται, μὶν καὶ νίν, ὑπὲρ μίαν δὲ συλλαβὴν οὖσαι καὶ μὴ ἔχουσαι τὴν διὰ τοῦ ι̅ ἐπέκτασιν βαρύνονται, οὗτος, ἐκεῖνος, ὁ δεῖνα, ὑπεσταλμένης τῆς αὐτὸς ὀξυτόνου, καὶ τῆς ὁ δεῖνα περισπωμένης. τὰ δὲ ἐπέκτασιν πάσχοντα ὀξύνεται, οὗτοσὶ, ἐκεινοσὶ, ὁδί. μονοπρόσωποι δὲ λέγονται ὡς μὴ ἔχουσαι δεύτερα καὶ τρίτα πρόσωπα.

Αἱ παράγωγοι ἀντωνυμίαι, αἱ εἰς θεν̅ μὲν οὖσαι βαρύνονται, ἐμέθεν, σέθεν, ἕθεν· αἱ δὲ διὰ τοῦ δαπος̅ ἐκφερόμεναι ὀξύνονται, ἡμεδαπὸς, ὑμεδαπός.

Αἱ εἰς ος̅ κτητικαὶ ἀντωνυμίαι διὰ τοῦ τερος̅ μὲν ἐκφερόμεναι προπαροξύνονται, νωΐτερος, σφωΐτερος, ὑμέτερος, ἡμέτερος, σφέτερος· μὴ διὰ τοῦ τερος̅ δὲ ὀξύνονται, ἐμὸς, σὸς, ἑός.

Περὶ τόνου τῶν προθέσεων.

Πᾶσα πρόθεσις ὀξύνεται δισύλλαβος, ἀνὰ, κατὰ, διὰ, μετὰ, παρὰ, ἀντὶ, ἐπὶ, περὶ, ἀμφὶ,

ἀπὸ, ὑπὸ, ὑπὲρ, εἰ μὴ κατὰ ἀναστροφὴν παραλειφθῶσι· τότε γὰρ βαρύνονται; οἷον, ἄστυ κατὰ (sic) ξανθοῖο. εἰσὶ δὲ προθέσεις δέκα καὶ ὀκτώ. τούτων αἱ μὲν ὀρθοτονούμεναι δέκα, ἀνὰ, διὰ, ἀμφὶ, ἀντὶ, σὺν, ἔξ, εἰς, ἐν, πρὸς, πρό. ἐγκλινόμεναι δὲ καὶ ἀναστρεφόμεναι ὀκτὼ, κατὰ, μετὰ, παρὰ, περὶ, ἀπὸ, ἐπὶ, ὑπὸ, ὑπέρ.

Αἱ ὀρθοτονούμεναι.

Ἡ ἀνὰ ὀρθοτονουμένη οἰκείᾳ πτώσει αἰτιατικῇ, ἀνὰ στρατόν. κατὰ δὲ ἀττικοὺς καὶ ἴωνας δοτικῇ, χρυσέῳ ἀνὰ σκήπτρῳ, ἀντὶ σύν.

Ἡ διὰ ὀρθοτονουμένη οἰκείαις πτώσεσι, γενικῇ καὶ αἰτιατικῇ, διὰ προμάχων, διὰ δρυμὰ πυκνά.

Ἡ ἀμφὶ ὀρθοτονουμένη οἰκείαις πτώσεσι, γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ.

Ἡ ἀντὶ ὀρθοτονουμένη οἰκείᾳ πτώσει, γενικῇ.

Ἡ σὺν καὶ ξὺν ὀρθοτονουμένη οἰκείᾳ πτώσει, δοτικῇ.

Ἡ ἔξ καὶ ἐκ ὀρθοτονουμένη οἰκείᾳ πτώσει, γενικῇ.

Ἡ εἰς καὶ ἐς ὀρθοτονουμένη οἰκείᾳ πτώσει, αἰτιατικῇ, καὶ γενικῇ ἀττικῶς.

Ἡ πρὸς ὀρθοτονουμένη γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ.

Ἡ ἐν ὀρθοτονουμένη οἰκείᾳ πτώσει, δοτικῇ, καὶ γενικῇ ἀττικῶς.

Ἡ πρὸ ὀρθοτονουμένη γενικῇ.

Αἱ δὲ ἐγκλινόμεναι καὶ ἀναστρεφόμεναι αἵδε.

Ἡ κατὰ ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ καὶ αἰτιατικῇ.

Ἡ μετὰ ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ. τὸ δὲ μετὰ σφίσιν ἀντὶ ἐν.

Ἡ παρὰ ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ.

Ἡ ἐπὶ ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ.

Ἡ ὑπὸ ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ [90]).

Ἡ ὑπὲρ ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ καὶ αἰτιατικῇ.

Τὸ περὶ τῆς συντάξεως αὐτῶν διεξοδικώτερον παντοχοῦ εὕρηται.

Περὶ τόνου τῶν ἐπιῤῥημάτων καὶ συνδέσμων.

Βιβλίον ιθ'.

Τὰ ἐπιῤῥήματα ἀπὸ πασῶν τῶν πτώσεων γίνονται.

Πᾶν δὲ μονοσύλλαβον ἐπίῤῥημα ὀξύνεται, ἆψ, δαὶψ (sic) παρὰ τὸ δήκω, ὅπερ καὶ ὀδαξ λέγεται, λαξ, πυξ, μιξ, καὶ ἀπριξ, χθες, δις, τρις, πριν, μὺ τὸ θρηνητικὸν, μα, νή. τούτοις ὁμοίως ὀξύνεται

90) ἢ ἀπὸ ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ· ἢ ὑπὸ ἐγκλινομένη καὶ ἀναστρεφομένη γενικῇ, δοτικῇ καὶ αἰτιατικῇ.

Τὰ εἰς ξ̄ ὀξύνεται, ὀδάξ, ἀπρίξ. καὶ τὰ εἰς ᾱ, τριχθᾶ, τετραχθά. καὶ τὰ ἄλλως ἔχοντα τὸ ᾱ, ἄψ, μὰψ, λάξ.

Τὰ δὲ διὰ τοῦ ᾱ πρὸ μιᾶς ἔχοντα τὸν τόνον καὶ μακρᾷ παραληγόμενα προπερισπῶνται, ὦκα, ἦκα, αἶψα, ῥῖα ἀντὶ καθά. τὸ ἅμα παροξύνει τὴν παραλήγουσαν, καὶ τὸ κάρτα διὰ τὸ θέσει μακρόν.

Τὰ εἰς ᾰρ περισπῶνται, αὐτῆμαρ, ἐννῆμαρ.

Τὰ ἐρωτηματικὰ περισπῶνται, πῶς, ποῦ, ποῖ, πῇ. τὸ πώποτε προπαροξύνεται, καὶ περισπᾶται. τὸ ἱνατί καὶ διατί καὶ ἐν τῇ συνεπείᾳ ὀξύνεται.

Περὶ τόνου τῶν συνδέσμων.

Πᾶς σύνδεσμος μονοσύλλαβος βραχυκατάληκτος ὀξύνεται, γὰρ, ἄρ, ῥᾳ, δὲ, τὲ, μὲν, κὲν, ἂν, πέρ.

Οἱ εἰς ᾰ σύνδεσμοι ὑπὲρ μίαν συλλαβὴν βαρύνονται, ἄρα, κάτα (sic), ὄφρα, ἵνα, ἕνεκα, οὕνεκα, δῆτα, πλὴν τοῦ ἀλλά.

Οἱ συμπλεκτικοὶ σύνδεσμοι ὀξύνονται, μὲν, δὲ, τὲ, καὶ, ἀλλὰ, ἠμὲν, ἠδὲ, ἀτὰρ, αὐτὰρ, ὑπεσταλμένου τοῦ ἤτοι βαρυτόνου. οὗτος γὰρ οὐ μόνον συμπλεκτικὸς, ἀλλὰ καὶ διαζευκτικός.

Αἱ εἰς σ̄ λήγοντες ὑπὲρ μίαν συλλαβὴν βαρύνονται, ὅπως, ἔμπης, ὅμως, καίτοι.

Πᾶς σύνδεσμος παραπληρωματικὸς ὀξύνεται, χωρὶς εἰ μὴ δίφθογγον τὴν διὰ τοῦ ῠ ἔχοι, δῆ,

ξῆς, καθεξῆς. τὰ δὲ διὰ τοῦ ε̄ ὀξύνεται, δὶς, τρὶς, χωρὶς.

Τῶν εἰς ῆ ληγόντων περισπῶνται ταῦτα, διπλῆ, τριπλῆ, ἡσυχῆ, πεζῆ, πανταχῆ, ὡς ἀπὸ περισπωμένων γινόμενα, τὸ διπλῶς, πεζῶς. περισπᾶται καὶ τὸ ὁμαρτῆ, ἀμαρτῆ, κομιδῆ, πῆ, ἦ, ὅπου, καὶ ἀντὶ τοῦ καθά. ὀξύνεται δὲ ταῦτα, ὠὴ, ἰωὴ, δηλαδὴ, ἀκμήν.

Τὰ εἰς ῑ λήγοντα ὀξύνεται, ἀμισθὶ, δευρί. προπερισπῶνται δὲ ταῦτα, αὖθι, ἦχι, ἵφι. τὸ ναιχὶ ὀξύνεται.

Καὶ τὰ εἰς εῑ δίφθογγον ὀξύνεται, χαμαὶ, βαβαί. τὸ ἴθι, εἶθε καὶ αἴθε παροξύνεται. τὸ χαμᾶζε δὲ περισπώμενον εὗρον, ἀλλ' ἡ συνήθεια παροξύνει.

Τὰ εἰς οῑ περισπῶνται, ἐνταυθοῖ, ποῖ. οἶκοι δὲ παροξύνεται.

Τὰ εἰς οῑ καὶ εἰς αῑ σχετλιαστικὰ παραλόγως περισπῶνται, ὀττοττοῖ, εὐοῖ, παπαῖ, ἀταταῖ, πλὴν τοῦ αἰ, οὐαὶ, βαβαί. παροξύνεται δὲ τὸ οἴμοι, ὤμοι. ἡ δὲ συνήθεια ὀξύνει τὸ παπαὶ καὶ ἀταταί.

Τὰ εἰς εῡ περισπῶνται, φεῦ, εὖ.

Καὶ τὰ εἰς οῡ περισπῶνται, πανταχοῦ, ἀγχοῦ, ὁμοῦ, αὐτοῦ· πλὴν τοῦ ἰδοὺ, ἰού, καὶ οὐ τὸ ἀρνητικόν. τοῦτο καὶ ἐν τῇ συνηθείᾳ ὀξύνεται.

Τὰ εἰς ῡ ὀξύνεται, ἰθὺ, εὐθὺ, μεσηγὺ, καὶ τὸ εὐθύς.

Τὰ εἰς ξ̄ ὀξύνεται, ὀδάξ, ἀπρίξ. καὶ τὰ εἰς ᾱ, τριχθᾶ, τετράχθά. καὶ τὰ ἄλλως ἔχοντα τὸ ᾱ, ἄψ, μὰψ, λάξ.

Τὰ δὲ διὰ τοῦ ᾱ πρὸ μιᾶς ἔχοντα τὸν τόνον καὶ μακρᾷ παραληγόμενα προπερισπῶνται, ὦκα, ἦκα, αἶψα, οἷα ἀντὶ παθά. τὸ ἅμα παροξύνει τὴν παραλήγουσαν, καὶ τὸ κάρτα διὰ τὸ θέσει μακρόν.

Τὰ εἰς ᾰρ περισπῶνται, αὐτῆμαρ, ἐννῆμαρ.

Τὰ ἐρωτηματικὰ περισπῶνται, πῶς, ποῦ, ποῖ, πῇ. τὸ πώποτε προπαροξύνεται, καὶ περισπᾶται. τὸ ἱνατί καὶ διατί καὶ ἐν τῇ συνεπείᾳ ὀξύνεται.

Περὶ τόνου τῶν συνδέσμων.

Πᾶς σύνδεσμος μονοσύλλαβος βραχυκατάληκτος ὀξύνεται, γὰρ, ἄρ, ῥὰ, δὲ, τὲ, μὲν, κὲν, ἂν, πέρ.

Οἱ εἰς ᾰ σύνδεσμοι ὑπὲρ μίαν συλλαβὴν βαρύνονται, ἄρα, κάτα (sic), ὄφρα, ἵνα, ἕνεκα, οὔνεκα, δῆτα, πλὴν τοῦ ἀλλά.

Οἱ συμπλεκτικοὶ σύνδεσμοι ὀξύνονται, μὲν, δὲ, τὲ, καὶ, ἀλλὰ, ἠμὲν, ἠδὲ, ἀτὰρ, αὐτὰρ, ὑπεσταλμένου τοῦ ἤτοι βαρυτόνου. οὗτος γὰρ οὐ μόνον συμπλεκτικὸς, ἀλλὰ καὶ διαζευκτικός.

Αἱ εἰς σ̄ λήγοντες ὑπὲρ μίαν συλλαβὴν βαρύνονται, ὅπως, ἔμπης, ὅμως, καίτοι.

Πᾶς σύνδεσμος παραπληρωματικὸς ὀξύνεται, χωρὶς εἰ μὴ δίφθογγον τὴν διὰ τοῦ ῡ ἔχοι, δῆ,

θήν, νύ, ἄρ, ῥά, τοί, γέ, πέρ, μήν. αὖ περισπώμενος ἔχων τὸ ῡ.

Οἱ αἰτιολογικοὶ ὑπὲρ μίαν συλλαβὴν ὄντες βαρύνονται, ἕνεκα, ὄφρα, ὅτι, χάριν.

Οἱ μονοσύλλαβοι σύνδεσμοι ἔχοντες δίφθογγον τὴν διὰ τοῦ ῑ ὀξύνονται, τοί, καί, εἶ, ὅθεν τὸ ἐπεί. ὁ δὲ οὖν περισπᾶται.

Ὁ ἤ σύνδεσμος καὶ ὀξύνεται καὶ περισπᾶται. καὶ ἡνίκα μὲν εὑρεθῇ διαπόρησις μετὰ διαζεύξεως, τότε ὁ ἤ ἐν τῇ ἀρχῇ ὢν ὀξύνεται· ἐν δὲ τῷ μέσῳ περισπᾶται, ἢ δολιχὴ νῆσός ἐστιν, ἢ ἄρτεμις ἰοχέαιρα. ἡνίκα δὲ εὑρεθῇ διαπόρησις ἄνευ διαζεύξεως, τότε ὁ ἤ, εἴτε ἐν ἀρχῇ εἴτε ἐν μέσῳ εὑρεθῇ, περισπᾶται, ἢ τῷ ἀχιλλεῖ, ἢ τοῖς μυρμιδόσιν, ἀντὶ τούτῳ ἐκείνοις.

93) Καὶ ταῦτα μὲν περὶ τόνων, διεξοδικῶς μὲν, ἀλλ' οὐ τοσοῦτον· οὐ γὰρ ἄλλως κατ' ἐμέ, οἷόν τ' ἦν συντεθεῖσθαι τῷ τὸ μῆκος τῆς ἡρῳδιανοῦ πραγματείας ἐκφυγεῖν βουλομένῳ. νῦν δὲ περὶ αἰτίας τῆς τῶν τόνων εὑρέσεως καὶ τῶν σχημάτων αὐτῶν διὰ βραχέων διαληψόμεθα· ἔτι δὲ περὶ χρόνων καὶ πνευμάτων.

---

93) Haec et quae sequuntur ad finem usque libri, omnia desunt in Cod. 2603. Sed idem Codex tenet Grammaticam Theodosii, quam excipit Arcadii Grammatica. Iam in illa Theodosiana, et quidem quarta eius pagina, exstat Sectio statim sequens *Οἱ χρόνοι καὶ οἱ τόνοι κ. τ. λ.* unde excerptam scripturae diversitatem cum lectoribus communicabo.

94) *Περὶ τῆς τῶν τόνων εὑρέσεως, καὶ τῶν σχημάτων αὐτῶν, καὶ περὶ χρόνων καὶ πνευμάτων.*

Οἱ χρόνοι καὶ οἱ τόνοι καὶ τὰ πνεύματα, ἀριστοφάνους ἐκτυπώσαντος, γέγονε πρός τε διαστολὴν [95]) *τῆς ἀμφιβόλου λέξεως, καὶ πρὸς τὸ μέλλον* [96]) *τῆς φωνῆς συμπάσης καὶ τὴν ἁρμονίαν, ὡς ἐὰν ἐπάδοιμεν φθεγγόμενοι. σκέψαι δ', ὡς ἕκαστον αὐτῶν φυσικῶς ἅμα καὶ οἰκείως, καθάπερ τὰ ὄργανα, ἐσχημάτισται καὶ ὠνόμασται· ἐπειδὴ καὶ ταῦτα ἔμελλε τῷ λόγῳ ὥσπερ ὄργανα ἔσεσθαι. ἑώρακε γὰρ καὶ τὴν μουσικὴν οὕτω τὸ μέλος καὶ τοὺς ἀριθμοὺς σημαινομένην* [97]), *καὶ πῇ μὲν ἀνιεῖσαν, πῇ δ' ἐπιτείνουσαν, καὶ τὸ μὲν βαρὺ, τὸ δὲ ὀξὺ ὀνομάζουσαν. εἰ δέ ποτε ἐπάδοιμεν, ἢ τέλεον ἀποτείνοντες, ἢ πάλιν ἀνιέντες, τοῦτο σκληρὸν, τὸ δὲ* [98]) *μαλακὸν ἐκάλει. κατὰ τοῦτο* [99]) *καὶ ὁ Ἀριστοφάνης σημεῖα ἔθετο τῷ λόγῳ πρῶτα ταῦτα, ἵν' ἅμα συλλαβῆς καὶ λέξεως γενομένης κανών τις ἔποιτο, καὶ σημεῖον ὀρθότητος· ἔπειτα τρίχα τεμὼν τὴν κίνησιν τῆς φωνῆς, τὸ μὲν εἰς*

---

94) Leguntur ap. Villeison. p. 115. usque ad verba *Τῶν χρόνων οἱ μὲν μακροὶ — τοῦ δὲ μακροῦ χρόνου ταῦτα.*

95) Cod. 2603. in Grammat. Theodos. habet *διάκριων* pro *διαστολὴν.*

96) Villoisonus p. 116. „forte *μέλος.*“

97) *σημαινομένων.*

98) *καὶ* pro *τὸ δὲ.*

99) *οὕτω* pro *κατὰ τοῦτο.*

χρόνους [1]), τὸ δὲ εἰς τόνους, τὸ δὲ εἰς αὐτὸ τὸ πνεῦμα. καὶ τοὺς μὲν χρόνους τοῖς ῥυθμοῖς εἴκασε, τοὺς δὲ τόνους τοῖς τόνοις τῆς μουσικῆς. καὶ σημεῖα ἔθετο ἐφ' ἑκάστῳ καὶ ὀνόματα, τοῖς μὲν χρόνοις τὸ βραχὺ καὶ τὸ μακρὸν ἐπονομάσας, καὶ σχήματα οἰκεῖα ποιησάμενος, τῷ μὲν μακρῷ τὴν εὐθεῖαν γραμμὴν καὶ ἀποτεταμένην [2]) —. τῷ δὲ βραχεῖ τὴν συνεστραμμένην καὶ συνέχουσαν ὥσπερ ἑκατέρωθεν τὴν φωνὴν ἐσημειώσατο [3]) ⏑. τῶν δὲ τόνων τὴν μὲν ἄνω τείνουσαν καὶ εὐθεῖαν, καὶ εἰς ὀξὺ ἀπολήγουσαν, οἰκείαν τοῖς βέλεσι τοῖς ἐφιεμένοις, ὀξεῖαν ἐπωνόμασε [4]) ΄. τὴν δὲ ἐναντίαν ταύτῃ βαρεῖαν `. ἐπειδὴ (sic) [5]) ἐώρα τὴν ἔξω τοῦ μέλους λέξιν, οὐ κατὰ τὸ βαρὺ μόνον, οὐδ' ἐν τῷ ὀξὺ (sic) καταμένουσαν, ἀλλὰ καὶ τρίτου τινὸς δεομένην τόνου. τούτου δὴ τοῦ περισπωμένου πρότερον ἑαυτῆς τῆς φωνῆς τὴν δύναμιν ἐσκοπεῖτο. Καὶ ἐπεὶ συνέβαινε ταῖς περισπωμέναις λέξεσιν εὐθὺς ὑπ' ἀρχομένην τὴν φωνὴν ὀξύ τι ὑπηχεῖν, κατατρέπειν δὲ ὡς εἰς τὸ βαρὺ οὐδέν, ἀλλ' ἢ μίξιν καὶ κρᾶσιν ἐξ ἀμφοῖν, τοῦ τε ὀξέος καὶ τοῦ βαρέος, ἡγησάμενος εἶναι τὸ περισπώμενον, οὕτως αὐτῷ καὶ τὸ σχῆμα ἐποιήσατο.

χρό
1) τόνους (sic pro χρόνους).

2) ἀποτεταμένην.

3) ἐσημειώσατο abest.

4) ἐπονομάσας.

5) βαρεῖαν. κάτω φερομένην ὥσπερ ὑπό τινος ὀργάνου ' ἐπειδή.

ἐφορμησάμενος γὰρ ἀλλήλαις τὰς εὐθείας ἑκατέρας τήν τε τοῦ ὀξέος καὶ τὴν τοῦ βαρέος, ταύτην εἶναι τὴν περισπωμένην ἔλεγεν, ὧδέ πως αὐτὴν ἐξ ἀμφοῖν τοῖν τόνοιν ἐξ ὧν ἐγένετο ^ ὀξυβαρεῖαν ὀνομάζων. ἐπεὶ δὲ ὁμοιότητα αὐτὸ τὸ σχῆμα τοῦ τόνου πρὸς τῶν γραμμάτων ἔμελλεν ἕξειν τὸ Λ, δεδοικὼς, μή τι ἄρα ἐν τῇ παραθέσει τῶν γραμμάτων παραμιγνύηται τὴν ἀνάγνωσιν, βραχύ τι τὴν εὐθεῖαν τῶν γωνιῶν κλάσας, καὶ περιτείνας αὐτὰς ἓν ἡμικύκλιον, ἅμα τῷ σχήματι τῆς περισπωμένης καὶ τῷ νοήματι, ἐπὶ τὸ οἰκειότερόν τε καὶ εὐφωνότερον μετέβαλλεν [6]). ἀλλ' ἑκάστῳ πνεύματι οὐκ ἀτέχνως οὐδ' ἀμούσως τὰ σημεῖα ἐπέθετο [7]). καθάπερ οἱ τοῖς αὐλοῖς τὰ τρήματα εὐρώμενοι, ἐπιφράττειν αὐτὰ καὶ ὑπανοίγειν ὁπότε βούλοιντο, κέρασί τισιν ἢ βόμβυξιν ὑφορκίοις [8]) ἐπετεχνάσαντο, ἄνω καὶ κάτω [9]), καὶ ἔνδον τε καὶ ἔξω στρέφοντες. ταῦτα οὕτωσὶ, κακείνοις ὥσπερ κέρατα τὰ σημεῖα ἐποιήσατο τῷ πνεύματι, ἔν τι σχῆμα ἑκατέρῳ σημηνάμενος. τοῦτο δὴ τὸ ἓν ὥσπερ αὐλῷ ἐοικὸς, ὅπερ ἔνδον καὶ ἔξω στρέφων ἐπιφράττειν τε καὶ ὑπανοίγειν τὸ πνεῦμα ἐδίδαξεν. ἐπιφράττειν μὲν γὰρ αὐτὸ καὶ ἐπέχειν, ὁπότε ψιλοῦν ἐπιτάττοι. ἀφίησι δὲ καὶ ὑπανοίγει, ἡνίκα ἐπιπνέοντες ἡμεῖς δι' σέως λέγειν ἀναγκαζόμεθα.

---

6) " abest.

7) σημεῖα ὅλα ἐπίθετο.

8) ὑφολκίοις.

9) ἄνω τε καὶ κάτω.

Ἐποιήσατο δὲ καὶ τῇ πεπονθυίᾳ λέξει σημεῖα, τά τε συναλῃλιμμένα [10]) ἡμῖν διαπρίοντα καὶ τὰ συγκείμενα, καὶ τὰ λελυμένα, οἷον τήν τε ἀπόστροφον νῦν καλουμένην ἐπὶ τοῖς συναλῃλιμμένοις τάξας, καὶ τὴν ὑποδιαστολὴν ἐπὶ τοῖς ἐπ' ἀλλήλων λυομένοις, καὶ αὐτὴν ὑποτείνουσαν εὐθεῖαν τὰ συγκείμενα, ἣν ὑφὲν οὕτως ὀνομάζομεν ἐπὶ τοῖς συμπεπληγμένοις. τὰ δὲ σχήματα τούτων σὺν τοῖς ἄλλοις μετ' ὀλίγα γραφθήσονται. ἀλλὰ καὶ τὰς στιγμὰς [11]) σημεῖα εἶναι οὐ μόνον τῇ λέξει, ἀλλὰ δὴ καὶ τῷ λόγῳ [12]), διέταξεν ἀνέσεις καὶ ἐποχὰς τῷ πνεύματι καὶ τῇ φωνῇ παρεχόμενος, καὶ χώρας αὐταῖς καὶ δυνάμεις ὡρισμένας διένειμεν. τρεῖς μὲν τὰς πρώτας καὶ πυριωτάτας μόνον νῦν λέξομεν ἐπιτομῆς χάριν· τὰ δὲ αὐτῶν μέρη ἐν τῷ περὶ περιόδων καὶ κώλων διείληπται, καὶ νικάνορι τῷ ἑρμείου ἐν τῷ περὶ καθόλου στιγμῆς γέγραπται [13]). τὴν μὲν ἀπαρτίζουσαν ἀεὶ τὴν διάνοιαν τελείαν στιγμὴν ὑπέθετο, ἣν καὶ τίθησιν ἄνω κατὰ τὴν κεφαλὴν [14]) τοῦ στοιχείου, τὸ κῦρος ὥσπερ ἔχουσαν τοῦ λόγου, καὶ βαρύνουσαν τὴν φωνήν. τὴν δὲ ὑπὸ τῇ βάσει, ἣν [15]) καὶ ὑποστιγμὴν κα-

---

10) συναλληλιμένα.

11) τὰ δὲ σχήματα τούτων εἰδόσιν οὐ γράφω· ἀλλὰ καὶ τὰς στιγμάς.

12) τοῦ λόγου.

13) τρεῖς μὲν τὰς πρώτας — γέγραπται absunt.

14) τὴν μὲν ἀπαρτίζειν ἀεὶ τὴν διάνοιαν ὑποθέμενος, τὴν στιγμὴν ἣν καὶ τίθησιν ἄνω κατὰ τὴν κεφαλήν.

15) βάσει ταύτην ἦν.

λοῦμεν, οὐκ ἀπαρτίζειν μὲν τὴν διάνοιαν ὥρισεν, πόθεν δὲ τοῦ μέλλοντος εἰρῆσθαι ὑφιέναι μὲν ἠρέμα τοῦ πνεύματος, εἰς ὀξὺ τὸ λεῖπον ὥσπερ τοῦ λόγου τηρεῖν. τὴν δὲ [16]) μέσην καλοῦμεν ἀμφοτέρων, οὐδὲ αὐτὴν μὲν ἀπαρτίζειν τὴν διάνοιαν ἔταξεν· ἀναπαύειν δὲ ἐν καιρῷ τὸ πνεῦμα ἐπίσης τῇ φωνῇ χρωμένων, ἐπειδὰν ᾖ ὁ λόγος πολὺς καὶ μακρός. ὥρισε καὶ τοῖς τόνοις καὶ τοῖς πνεύμασι τεταγμένως περιπολεῖν τὴν λέξιν, τὸν μὲν ὀξὺν τόνον ἐν ἅπαντι μέρει καθαρῷ τόνου ἅπαξ ἐμφαίνεσθαι δοκιμάσας· καὶ μεμετρημένως ἐπὶ τοῦ πέρατος τῆς λέξεως, ὁπότε καὶ κυριεύοι τοῦ ὀνόματος ἡ παρὰ τὸ πέρας, ἢ τρίτον ἀπὸ τοῦ πέρατος· πόρρω γὰρ τοῦδε οὐ πρόεισιν, οὐδ' ἂν ἐπιμήκιστον εἴη τὸ ὄνομα. ὁπότε δὲ αὐτὸς ἐνσταίη τὴν λέξιν ὁ τόνος, τηνικαῦτα περισπώμενος γίνεται. ἅμφω γὰρ ἅμα ἀδύνατον, ὅτι ἐκ τοῦ ὀξέος καὶ τοῦ βαρέος ὁ περισπώμενος, ὥσπερ εἴρηται, γέγονεν. φαίνεται δὲ καὶ οὗτος τὰ πολλὰ ἐπὶ τοῦ πέρατος, ἐπιπόρρω δ' [17]) εὑρεῖν ἀδύνατον.

Ὁ δὲ βαρὺς τόνος, ἅτε καὶ ἁπλοῦς τις ὢν καὶ μικροτέραν ἔχων δύναμιν, ἀτάπτως καὶ ἀμέτρως περίεισι τὴν λέξιν ἁπανταχῇ, καὶ πολλάκι (sic) καὶ ὅπῃ τύχοι [18]) φαινόμενος. οὕτω καὶ ἐπὶ τῶν πνευμάτων τὸ μὲν δασὺ κατὰ τὴν ἀρχὴν ἀεὶ φαίνεται, καὶ μέσον ὀλιγάκις εἰσεγκέοιτο τὸ ὄνομα·

16) δὲ abest.

17) δ' abest.

18) τύχῃ.

τὸ δὲ ψιλὸν [19]) οἷα τε ἀέρεον καὶ κεχυμένον ἀπεριόριστον ὂν [20]) ἁπανταχῆ. καὶ οἱ χρόνοι δὲ καὶ τὰ σημεῖα τῶν παθῶν τέτακταί πως φυσικῶς.

Περὶ προσῳδιῶν [21]).

Προσῳδίαι εἰσὶ δέκα, ὀξεῖα, οἷον, θεός. ˊ. βαρεῖα, οἷον, πὰν. ˋ. περισπωμένη, οἷον, πῦρ. ˆ. μακρὰ, οἷον, ἄρῃς. ¯. βραχεῖα, οἷον, ἄρης. ˘. δασεῖα, οἷον, ἥλιος. ˔. ψιλὴ, οἷον, ἠέλιος. ˀ. ἀπόστροφος, οἷον, ὡς ἔφατ᾽. ᾽. ὑφὲν, οἷον, πασιμέλουσα. ⁀. ὑποδιαστολὴ, οἷον, δία δ᾽, (sic) οὐκ ἔχει νήθυμος ὕπνος. Διαιροῦνται δὲ αὗται εἰς τέσσαρα, εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα καὶ εἰς πάθη.

Τόνοι μὲν τρεῖς, ὀξεῖα, βαρεῖα, περισπωμένη. χρόνοι δὲ δύο, μακρὰ, βραχεῖα. πνεύματα δὲ δύο, δασεῖα, ψιλή. πάθη δὲ τρία, ἀπόστροφος, ὑφὲν, ὑποδιαστολή.

Ὀξύτονον [22]) ὄνομα καλεῖται τὸ ἐπὶ τέλους ἔχον ὀξεῖαν, οἷον, σοφὸς, καλός. παροξύτονον καλεῖται τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον ὀξεῖαν, οἷον, φίλος, νέος. προπαροξύτονον ὄνομα καλεῖται τὸ πρὸ δύο συλλαβῶν τοῦ τέλους ἔχον

---

19) εἰ συγκείσιτο τὸ ὄνομα δὲ ψιλὸν (sic).

20) ὄν.

21) Περὶ προσῳδιῶν absunt.

22) Pro Τόνοι μὲν τρεῖς — Ὀξύτονον leguntur breviora haec: Τόνοι τρεῖς ˊ ˋ ˆ χρόνοι δύο ¯ ˘ πνεύματα δύο ˔ ˀ πάθη τρία ˘ ᾽. Ὀξύτονον κ. τ. λ.

τὴν ὀξεῖαν, οἷον, φιλόσοφος, φιλόκαλος. περισπώμενον καλεῖται τὸ ἐπὶ τέλους ἔχον τὴν περισπωμένην (sic), οἷον [23]), δῆμος, κῆπος. πρὸ δύω οὖν συλλάβῶν περισπωμένη οὐ τίθεται, οὔτε ὀξεῖα πρὸ τριῶν συλλαβῶν εὑρίσκεται. ἡ δὲ βαρεῖα τίθεται τὴν τελευταίαν τρέπων εἰς αὐτὴν, ὅτε ὁ λόγος τρέχει στιγμὴν μὴ ἔχων, οἷον, καλὸς καὶ σοφὸς καὶ σεμνὸς καὶ ἀγαθὸς καὶ εὐσεβὴς ἀνὴρ ἐμοὶ συνδραμὼν διηλέχθη (sic). πᾶσα λέξις τούτου τοῦ λόγου αὐτὴ καθ' αὑτὴν ὀξύνεται, ἀλλ' ἐν τῇ συνδρομῇ τοῦ λόγου μεταβάλλεται εἰς βαρεῖαν· κυλινδροειδὴς γάρ ἐστι, καὶ δείκνυσιν, ὅτι στιγμὴν οὐκ ἔχει. καὶ δηλοῖ διὰ τῆς ἐπικλήσεως αὐτῆς, ὅτι συνδέδεται ἔτι ὁ λόγος, συναπτομένης τῆς ἄνω λέξεως τῇ μετ' αὐτήν. τίθεται καὶ ἐπὶ τέλους, οἷον, πάν, δή. [24])

Περὶ χρόνων.

Τῶν χρόνων οἱ μὲν μακροὶ, οἱ δὲ βραχεῖς. καὶ μακρὸς χρόνος ἐστὶ φωνήεντος ἔκτασις· βραχὺς δὲ τοὐναντίον, οὗ παραδείγματα πάντα τὰ βραχυκατάληκτα. τοῦ δὲ μακροῦ χρόνου ταῦτα. [25])

---

23) οἷον ἡρακλῆς, σοφοκλῆς· προπερισπώμενον ὄνομα καλεῖται τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν περισπωμένην, οἷον δῆμος.

24) ἐπὶ τέλους, οἷον, πᾶν, δή. Sequuntur:
Μακρὸς χρόνος ἐστὶ φωνήεντος ἔκτασις.
Ἄρθρα ἀρσενικὰ κ. τ. λ.
Omisi haec, quia prorsus differunt ab iis quae leguntur in reliqua parte Apographi mei.

25) Hisce descriptis, Villoisonus p. 117. monet, conferendum esse Porphyrium περὶ τῆς προσῳδίας a se editum pag. 103. seq. Anecd. Graec.

Πᾶν ὄνομα μονοσύλλαβον μακροκατάληκτόν ἐστι φύσει ἢ θέσει, οἷον στὺξ, νὺξ, πᾶς, λὶς κὶς, κάρ· πλὴν τοῦ τίς.

Πᾶν ἀρσενικὸν καὶ θηλύκον εἰς ἀμετάβολον λῆγον μακροκαταληκτεῖ, ἀλκμὰν, παιὰν, δελφὶν, ἀκτὶν, ῥὶν, σαλαμὶν, κὰρ, ψὰρ, μάρτυρ, φόρην. σεσημείωται τὸ μάκαρ, δάμαρ.

Τὰ εἰς ας ἀρσενικὰ βαρύτονα, εἴτε ὀνόματα, εἴτε μετοχαὶ, ἐκτείνονται, αἴας, θόας, αἰνείας, λέξας, ποιήσας. σεσημείωται τὸ μέγας καὶ τὸ λάας.

Τὰ εἰς ας ὀξύτονα, εἰ μὲν εἴη ὀνόματα, συστέλλονται, εἰ δὲ μετοχαὶ, ἐκτείνονται, ἀρκὰς, φυγὰς, ἐθὰς, κιχρὰς, ἑστὰς, πιμπρὰς. σεσημείωται τὸ ἐθὰς καὶ ἀνδριὰς, καὶ ὅσα παρὰ τὸ κέραμαι, ἰσοκρὰς, ἑλικρά́ς.

Τὰ διὰ τοῦ υνος δισύλλαβα ἐκτείνει τὸ υ, φρῦνος, τρῦνος, θῦννος. σεσημείωται τὸ πλύνος.

Τὰ διὰ τοῦ υνος ὑπὲρ δύο συλλαβὰς, εἰ μὲν παραλήγει τὸ σ, συστέλλει τὸ υ, δεσπόσυνος, πίσυνος, θάρσυνος· εἰ δὲ μὴ παραλήγει τῷ σ, ἐκτείνει τὸ υ, κίνδυνος, εὔθυνος, πάχυνος. διὸ καὶ τὸ βόθυνος ἀναλόγως ἐκτείνουσιν ἀττικοί.

Τὸ ἀνδρόγυνος, λάγυνος, καὶ τὰ ὅμοια τοῦ γυνὴ ἐπείρασαν τὸν χρόνον. τὸ μόσυνος, φόρκυνος, πόλτυνος, τῶν εὐθειῶν συστελλομένων, ἐξέτειναν τὸ υ, ὡς ἡρωδιανός.

Τὰ εἰς υν θηλυκὰ δισύλλαβα ἐκτείνει τὸ υ, μύνη, σφύνη, πλὴν τοῦ γυνή. τὰ δὲ ὑπὲρ δύο συλλαβὰς συστέλλει τὸ υ, διὰ τὸ συνη, κερδοσύ-

νη, θριδδσύνη (sic), ὑπερθημοσύνη. ἀλλὰ καὶ κορύνη, χερύνη, τακύνη. ἐκτείνουσι δὲ ἀττικοὶ τὸ τορύνη.

Τὰ διὰ τοῦ υνω ῥήματα ὑπερδισύλλαβα βαρύτονα ἐκτείνει τὸ ῡ, ὀτρύνω, μολύνω. ἀττικοὶ δὲ βαρύνοντες τὸ ῡ, ἐκτείνουσιν αὐτό.

Πᾶν θηλυκὸν εἰς ᾱ λῆγον, ὀξυνόμενον μὲν ἢ περισπώμενον, ἐκτείνει αὐτό, οἷον ἀθηνᾶ, πυρκαϊᾶ, μνᾶ· διὸ καὶ τὰ ἀργυρᾶ, καὶ ἀργυρᾶ (sic) ὁτὲ μὲν ἐκτείνεται ὀξυνόμενον παρίωσι, ὁτὲ δὲ βαρύνεται καὶ συστέλλει αὐτό.

Τὰ διὰ τοῦ υρα θηλυκὰ ἀμοιβὴν ποιοῦντται τοῦ τόνου· ἢ γὰρ ἐκτείνουσι τὸ ῡ καὶ συστέλλουσι τὸ ᾱ, καὶ προπαροξύνονται, ἄγυρα, κέρκυρα, ὄλυρα· ἢ ἐκτείνοντα τὸ ᾰ συστέλλει τὸ ῠ, καὶ προπαροξύνεται, ἔφυρα, πόρφυρα. σεσημείωται τὸ κολλύρα τὰς δύο ἐκτεῖνον.

Τὰ εἰς ρα μετ' ἐπιπλοκῆς συμφώνου ἐκτείνει τὸ ᾱ, ἠλέκτρα, ποτίστρα, καλύπτρα, ἑνέδρα. σεσημείωται τὸ τάναγρα καὶ σκολόπεδρα (sic).

Τὰ διᾶ τοῦ αια παρώνυμα ἐκτείνει τὸ ᾱ, σεληναία, ἀμαξαία, ἀρχαία. γαῖα συνέσταλται.

Τὰ εἰς ᾱ λήγοντα θηλυκὰ παρεσχηματισμένα ἀρσενικῶν ὁμόχρονον ἔχει τῷ τέλει τῆς γενικῆς τοῦ ἀρσενικοῦ τῷ ᾱ, ὀξέος ὀξεῖα, τάλανος τάλαινα, χαρίεντος χαρίεσσα. ῥόδιος δὲ ῥοδία, καὶ σάμιος σαμία. διὸ ἀττικοὶ ἱερέως λέγοντες ἱερεία ἐκτεταμένως λέγουσιν· ἀλλ' οὐκέτι πανδόκεια, βασίλεια. σεσημείωται τὸ μία, καὶ τὸ δῖα γυναικῶν, τὸ ἴα, ἀπὸ τοῦ ἴος ἴου.

Τὰ εἰς ων συμπριτικὰ οὐδέποτε ἐκτεταμένῳ διχρόνῳ παραλήγεται, βράσων, ἐλάσσων. θάσσων σεσημείωται, ὅτι φύσει μακρᾷ παραλήγεται.

Τὰ διὰ τοῦ αριον ὑποκοριστικὰ συστέλλει τὸ ᾱ, ἱππάριον, πλοιάριον.

Τὰ διὰ τοῦ ινη ὑπὲρ τρεῖς συλλαβὰς ἐκτείνει τὸ ῑ, αἰητίνη, θριδακίνη, ἡρωΐνη. τὸ ἠλατίνη, μολυβδίνη, ὀνόματα πόλεων, συνέσταλται.

Τὰ διὰ τοῦ ινος ὑπὲρ δύο συλλαβὰς ὀξύτονα, παρὰ καιροῦ συντιθέμενα, συστέλλει τὸ ῑ, ἐαρινὸς, νυκτερινὸς, θερινός. οἱ ποιηταὶ δὲ πολλάκις ἐκτείνουσι.

Τὰ εἰς ος οὐδέτερα δισύλλαβα, ἔχοντα πρὸ τοῦ τέλους τὸ ᾰ, συνεσταλμένον αὐτὸ ἔχει, δάος, φάος, κάος. πλὴν τοῦ φάρος, πάγος.

Τὰ εἰς σι λήγοντα μακρᾷ παραλήγει, ἱστᾶσι, κιχρᾶσι. ποιηταὶ δὲ ἐνίοτε συστέλλουσι.

Τὰ ἀπὸ τῶν εἰς ης ὀξυτόνων, διὰ τοῦ εια παροξύτονα, συστέλλει τὸ ᾰ, προπαροξύτονα δὲ ἐκτείνει, εὐσέβεια καὶ εὐσεβία, ἀμέλεια καὶ ἀμελία, συνήθεια καὶ συνηθία. τὸ μέντοι ἀμαθία μόνον παροξύνεται καὶ διὰ βραχέος ι γράφεται.

Αἱ εἰς αι λήγουσαι εὐθεῖαι πληθυντικαὶ ἐκτείνουσαι τυγχάνουσι τὸ ᾰ τῶν αἰτιατικῶν, σκύθαι, σκύθας, κἄλαι, καλάς.

Τὸ ᾰ πρὸ τοῦ β ἢ μ συστέλλεται, ῥάβδος, λάβδακος, βλάβη, ἄμιλλα, ἀμύμων, ἅμα.

Τὸ ῑ κατ' ἀρχὴν πρὸ τοῦ τ συστέλλεται, ἴτις, ἰτέα, ἰτρίον. ἰτώνιον καὶ ἴτιον ποιητικά.

Τὰ διὰ τοῦ ανω ὑπὲρ δύο συλλαβὰς συστέλλει τὸ ᾱ, λιμπάνω, ἀνδάνω, λαμβάνω, πλὴν τοῦ ἱκάνω, κιχάνω.

Τὰ εἰς ις καθαρὸν βαρύτονα εἴτε ἀρσενικὰ, εἴτε θηλυκὰ, συστέλλει τὸ ι, ἔρις, θέτις, μῆνις, κάρις, ἔχις, ὄφις. τὸ ὄρνις, εὐκνῆμις, καὶ τὰ ὅμοια σύνθετα ἐκτείνουσιν ἀττικοί.

Τὰ εἰς ῑ ὀξύτονα θηλυκὰ ἐκτείνει τὸ ῑ καὶ μακρᾷ παραλήγει, κορωνὶς, ψηφὶς, βαλβὶς, φαρκὶς, ἀρωπίς. δικαίως οὖν οἱ ἀττικοὶ τὸ ἐλπὶς καὶ καρὶς συστέλλουσι.

Τὰ εἰς ρος καθαρὸν δισύλλαβα ἀρσενικὰ τῷ ᾱ παραληγόμενα συστέλλει αὐτὸ, λάρος, γάρος, κάρος. ἀττικοὶ ἐκτείνουσι.

Τὰ εἰς μος καθαρὸν δισύλλαβα ἔχοντα τὸ υ ἐκτείνουσιν αὐτὸ, χυμὸς, θυμός.

Πᾶν δίχρονον ἐκ κράσεως ὂν ἐκτείνεται, θέτι, ἱρεὺς, ἴρηξ, οἱ νέκυς, οἱ βότρυς, ῥῦσθαι, εὐφυᾶ, εὐκλεᾶ. τὸ μέντοι ὑπερδεᾷ δῆμον ἔχοντας, καὶ δυσκλέα ἄρχος ἱκέσθαι, καὶ κηλέα θυμὸν, οὐκ ἔστι κατὰ κρᾶσιν, ἀλλὰ κατὰ ἔνδειαν τοῦ ἑνὸς ε.

Καὶ περὶ τούτων ἅλις· νῦν δὲ περὶ πνευμάτων διαληψόμεθα.

Περὶ πνευμάτων.

Πᾶσα πρόθεσις ἀπὸ φωνήεντος ἀρχομένη ψιλοῦται, πλὴν τῆς ὑπὸ καὶ ὑπὲρ, οἷον ἀντὶ, ἐπὶ, ἀμφὶ, ἀπὸ, ἐν, ἐξ.

Πᾶν φωνῆεν πρὸ τοῦ χ ψιλοῦται, ἔχω, ἄχος,

ἠχώ. τὸ γὰρ ἦχι δασύνεται, ὅτι κατ' ἐπέκτασιν ἐστι τῆς χι.

Τὸ ω̄ πλεοναζον ψιλοῖ τὰ πρὸ αὐτοῦ φωνήεντα, ὅρος, οὖρος, ἔκηλος, εὔκηλος, ὁδὸς, οὐδὸς, ἔαδε, εὔαδε.

Πᾶν φωνῆεν εἰς ρ̄ λῆγον ἐπιφερομένου δασέος ψιλοῦται, ἄρχω, ἔρχομαι, ὀρχὸς, ὀρφανός. ἀττικοὶ δὲ δασύνουσι τὸ εἰρκτὴ, εἰρχθῆναι.

Πᾶν φωνῆεν πρὸ δασέος καὶ τοῦ ρ̄ ψιλοῦται, ὀφρὺς, ἀφρὸς, ὄφρα. τὸ ἄθρους, ὅτε ἐπιτατικὸν ἔχει τὸ ᾱ, δασύνεται παρὰ ἀττικοῖς.

Τὸ ᾱ, ῑ, η̄, ō πρὸ φωνήεντος ὄντα κατὰ διάστασιν ψιλοῦται, ἀάπτους, ἀήσυλα, ἀΐσσω, ἰάπτω, ἰατρὸς, ἠΐθεος, ἠέτιον, ἠέλιος, ἀΐω, ὀϊστός. σεσημείωται τὸ ἵημι, καὶ ὅσα γέγονε παρὰ τοῦ ἰε- ρεὺς, ἱέραξ, ἰόμωρος. καὶ τὸ ἰάλλω ἀττικοὶ δασύνουσι.

Τὸ στερητικὸν ᾱ ψιλοῦται, ἄφιλος, ἄοικος, πλὴν τοῦ ἄλυσις καὶ ἅδης.

Τὸ ε̄ κατὰ τοὺς παρωχημένους προερχόμενον καὶ ἀποπίπτον ψιλοῦται, ἔλεγον, λέγον, ἔστην, στῆν. τὸ δὲ ἐήνδανε καὶ ἐώρων οὐκ ἐκ κλίσεως, ἀλλ' ἐκ πλεονασμοῦ.

Τὸ ἐν ἀντωνυμίαις ε̄ πρὸ συμφώνου ψιλοῦται, ἐμοὶ, ἐκεῖνος, πλὴν τοῦ ἔθεν.

Πᾶν φωνῆεν πρὸ τοῦ γ̄ ψιλοῦται, πλὴν τοῦ η̄ καὶ ῡ̄, ἀγορὰν, ἄγαν, ὠγύγιος, ἐγγύς. τὸ μέντοι ἁγνὸς καὶ ἅγιος τοῦ ἅζω ῥήματος τὴν δασεῖαν ἐφύλαξεν.

Τὸ ᾱ πρὸ τοῦ ζ̄ ψιλοῦται· ἐπὶ δὲ τοῦ σέβομαι δασύνεται, ἄζω.

Τὸ ᾱ πρὸ δασέως ψιλοῦται. σεσημείωται τὸ ἀφῆ, καὶ τὸ παρ' αὐτοῦ.

Πᾶν φωνῆεν, πλὴν τοῦ ῡ, ἐπαγομένων δύο δασέων, ἢ δασέος σὺν ἀμεταβόλῳ, ψιλοῦται, ἴφθιμος, ἄφνω, ἰχθύς. σεσημείωται τὸ ἔφθος.

Τὸ ᾱ πρὸ τοῦ π̄ ψιλοῦται, ἀπὸ, ἄμμων, ἀπόνη.

Τὸ ᾱ πρὸ τοῦ λ̄ ἑνὸς ἢ διασοῦ ψιλοῦται, οἷον, ἄλλως. ὁμοίως καὶ τὸ ῑ, ἰλλάειν, καὶ τὸ ῶ, ὦλλος. σεσημείωται τὸ ἔλλην, ἑλλάς.

Τὸ ᾱ (sic) πρὸ τοῦ τ̄ ψιλοῦται, ὀτρηρὸς, ὀτοτύζειν, ὄθλος, οὗ μάχεται τὸ ὅτε καὶ ὅτι δασυνόμενα.

Τὸ ἡ ἐν τροχαϊκῇ λέξει, ἀμεταβόλου ἐπαγομένου, ψιλοῦται, πλὴν τῶν παρὰ τοῦ ἥσω μέλλοντος, ἠμαρ, ἠνις, ἤρατο. ἦλος παρὰ τὸ ἵημι καὶ ἥσω.

Τὸ ο̄ πρὸ τοῦ π̄ ψιλοῦται, εἰ μὴ τὸ λ̄ ἐπάγοιτο, ὀπίσω. ὁπόσος, ὁποῖος, καὶ τὰ ὅμοια ὡς ἀναφορικὰ δασύνεται.

Τὸ ε, ἐπιφερομένου τοῦ μ̄, ἢ κατὰ σύλληψιν, ἢ κατὰ διάστασιν, ψιλοῦσθαι θέλει, ἔμπλην, ἔμπουσα.

Τὸ ᾱ, ἐπιφερομένου τοῦ ν̄, ψιλοῦται, ἄνεμος. τὸ ἀνύω ἀττικοὶ δασύνουσι.

Τὸ ᾱ, ἐπαγομένου τοῦ ρ̄ μετὰ φωνήεντος, ψιλοῦται, ἄραβος, ἀρετή, ἀριθμός. τὸ δὲ χεῖρα ἀραιὰν δασύνεται.

Τὸ ᾰ ἐν ταῖς ὑπὲρ μίαν συλλαβαῖς λέξεσιν,

ἐπαγομένου τοῦ σ̄ ἢ ἑνὸς ἢ διασοῦ, ψιλοῦται, ἀσία, ἄστυ, ἀστράγαλος, ἀσάμινθος. τὰ ἄσσα, ὁ ἀηλοῖ τὸ ἄτινα, δασύνεται.

Τὸ α̅ πρὸ τοῦ τ̄, ἑνὸς ἢ διττοῦ, ψιλοῦται, πλὴν τοῦ ἅτε καὶ ἄτερος.

Τὸ α̅, ι̅, ο̅, ἐπαγομένου τοῦ ψ̄, ψιλοῦται, ἄψορρον, ἴψας (sic), ὀψέ. τὰ δὲ παρὰ τὸ ἅπτω δασύνεται, ἅψεα, ἁψίς.

Τὸ ε̅ καὶ ο̅ πρὸ δασέος ψιλοῦται, ὄφις, ἔθνος, ἔφεσος.

Τὸ ο̅ πρὸ τοῦ ν̄ ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται, ὄννξ, ὄναρ, ὄνομα.

Τὸ ο̅ πρὸ τῶν διπλῶν ψιλοῦται, ὄξος, ὀψὲ, ὄζαινα.

Τὸ ι̅ πρὸ δασέος ψιλοῦται, ἶφις, ἰχθῦς, ἰσχανόων.

Τὸ η̅ πρὸ τοῦ λ̄ ψιλοῦται, ἠλίβατος, ἠλιαία, ἠλιτόμηνος, πλὴν τοῦ ἥλιος.

Τὸ ο̅ ἐπιφερομένου τοῦ ρ̄ ψιλοῦται, ὄρος, ὄρυζα, ὀρεὺς, ὀρέγω, ὀρέστης, πλὴν τοῦ ὁρῶ ὁρᾷς, καὶ ὄρος, ἀρσενικὸν, καὶ ὁρίζω.

Τὸ ω̅ ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται, εἰ μὴ τὸ μ̄ ἐπάγοιτο, οἷον, οἶστρος, οἶκος. τὸ οἷος ἀναφορικὸν δασύνεται. τὸ οἶμος, οἰμῶ δασύνεται.

Ἡ αῡ δίφθογγος ψιλοῦται, αὔξω, αὐδῶ, αὐτὸς, αὔριον, πλὴν τοῦ αὖτη βαρύτονον, ἀπὸ τοῦ οὗτος, καὶ αὐτὰς ἀντὶ τοῦ ἑαυτός.

Ἡ εῡ δίφθογγος ψιλοῦται, οἷον, εὐλὴ, εὐλαὶ, οἱ σκώληκες, εὐδία, εὐθεῖα, καὶ τὰ λοιπὰ, πλὴν τοῦ εὕδω τὸ καθεύδω, καὶ εὔω τὸ φλογίζω, καὶ εὕρω,

ἀφ' οὗ καὶ εὑρίσκω. καὶ εὖ ἀντὶ τοῦ ἑαυτοῦ, κατὰ πρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν ευ διφθογγον δωρικῶς.

Ἡ ει διφθογγος ψιλοῦται, οἷον, εἶδος, εἰκάζω, εἶφον, καὶ τὰ λοιπὰ, πλὴν τοῦ εἰρκτὴ, εἶλως, ὁ δρυ-
5λος, καὶ εἰκὼς ὁ πέμψας, καὶ εἰλίξω τὸ συστρέφω, καὶ εἰλόμην, καὶ εἶμα τὸ ἱμάτιον, καὶ εἱμένος ὁ ἐνδεδυμένος, καὶ εἶνα τὸ ἕνα, καὶ εἵποντο ἀντὶ τοῦ ἠκολούθουν, καὶ εἶσεν ἀντὶ τοῦ ἐκάθησεν, εἰστήκει, καὶ εἶως ἀντὶ τοῦ ἕως, καὶ εἵαντο, καὶ εἴλη ἡ θερμα-
10σία. σεσημείωται καὶ τὸ εἷς ἀριθμητικόν.

Ἡ ου ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται, οὐρανὸς, οὐλὴ, οὐρῶ. οὕτω δὲ ἢ οὕτως δασύνεται.

Τὸ υ πάσης λέξεως ἄρχον δασύνεται πλὴν
15τῶν αἰολικῶν.

Πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται, ὁ, οὗ, ᾧ. τὸ δὲ ὦ ψιλοῦται, οὐ γὰρ ἄρθρον, ἀλλ' ἐπίρρημα κλητικόν.

Πᾶσα ἀντωνυμία ἀποβαλλομένη τὸ σ δασύ-
20νεται, σὸς ὅς, σοῦ οὗ.

Τὸ ρ ἀρχόμενόν λέξεως δασύνεται, οἷον, ῥανὶς, ῥᾷξ, πλὴν τοῦ ῥάρος καὶ ῥάριον.

Τὸ ρ, ἐὰν δισσὸν γένηται ἐν μέσῃ λέξει, τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται,
25οἷον συῤῥάπτω.

Τὸ ε τῶν ἀριθμῶν δασύνεται, ἓν, ἓξ, ἑπτὰ, καὶ τὰ λοιπὰ, πλὴν τοῦ ἐννέα καὶ ἐννενήκοντα. καὶ καθόλου εἰπεῖν, πᾶς ἀριθμὸς ἀπὸ φωνήεντος ἀρ-
χόμενος δασύνεται.

Τέλος.

EDMVNDI HENRICI BARKERI

EPISTOLA CRITICA

AD

VIRVM CLARISSIMVM

IO. FR. BOISSONADIVM

SVPER

RARIORIBVS QVIBVSDAM GRAECAE LINGVAE VOCIBVS, NONDVM IN LEXICA RELATIS.

E. H. BARKERVS
IO. FR. BOISSONADIO
S. P. D.

Cum ingenium tuum, acumen et doctrinam, Vir Summe et Amice, maximi semper fecerim, et ejusce rei argumentum aliquod exstare publice cuperem, judicavi pusillum hoc de rarioribus quibusdam vocabulis, quia nihil aliud ad manum erat, praeclaro nomini tuo inscribendum esse. Magnus sane est animi mei ardor ad praestandum aliquid, quo Spartam illam ornem. Quare oro te, mi Boissonadi, literarum vinculo, ut

ea, quae in Epistolam hanc conjecimus, diligenter, in lexicographorum gratiam, perpendas. Tu, quae tua est comitas, operam non gravaberis. Ignosces breviloquentiae; libere enim garrire nunc per longas occupationes non licet, quibus hoc momentum temporis scriptioni huic suffuratus sum.

I.

„*Colosseros* in Historia Augusta, *ὁ κολοσσέρως*, vir quidam grandis ut colossus, sed venustus et amabilis, ut Amor ipse. Sic per *Ἀνέρως* significatur, qui aeque venustus est ut Amor, contra Amorem pulcher. Idem vult et *παιδέρως*. Nec enim pueri amorem, aut *τῶν παιδικῶν ἔρωτα* designat, sed *παῖδα ἔρωτα*, puerum aeque amabilem et venustum, ut est Amor. At *ἵππερος*, ut *ἵκτερος*, *τῆς ἱππικῆς ἔρωτα*, significat, ut in isto versu,

Τὸν ἵππερον κατέχει μου τῶν πραγμάτων.

Orpheus *ὀπάλλιον παιδέρωτα* appellatum canit, quod simile esset *τερενόχροϊ παιδί*. Ergo *παιδέρως*, *παῖς ἔρως*, puer Amori similis:

Φημὶ δέ τοι τέρπειν καὶ ὀπάλλιον οὔρανίωνας,
Ἄγλαον, ἱμερτοῦ τέρενα χρόα παιδὸς ἔχοντα.

Ubi notandum, quod Plinius opalum, *ὀπάλλιον* vocat *ὑποκοριστικῶς*. Alii opalum paederota cognominatam volunt propter eximiam gratiam, alii paederota privatum genus faciunt, et diversum ab opalo. Sane quidquid eximia aliqua gratia commendabatur, Graeci *παιδέρωτα* dixere. Sic acanthos herba, cujus insignis in operibus topiariis gratia, *παιδέρως* appellata est; et caerefolium. Plinius: „*Caerefolium, quod paederota Graeci vocant.*“ Unguenti genus *) ita etiam appel-

*) „Alexis in Comoedia *Ἰσοστάσιῳ* (ap. Clem. Alex. p. 218. D. ed. Paris. 1641., Athen. XIII. p. 563.) meminit *παιδέρωτος*,

larunt. Hesych. παιδέρως· σφραγῖδος ὄνομα, οἱ δὲ ἀλείμματος, οἱ δὲ μύρου. Hoc unguentum vel ἄλειμμα ex

---

